Bodleian Libraries
UNIVERSITY OF OXFORD

This book is part of the collection held by the Bodleian Libraries and scanned by Google, Inc. for the Google Books Library Project.

For more information see:

http://www.bodleian.ox.ac.uk/dbooks

This work is licensed under a Creative Commons Attribution-NonCommercial-ShareAlike 2.0 UK: England & Wales (CC BY-NC-SA 2.0) licence.

B 106.

TAYLOR INSTITUTION.

BEQUEATHED

TO THE UNIVERSITY

BY

ROBERT FINCH, M. A.

OF BALLIOL COLLEGE.

2937 e. 12

E. Coll. Bal. Oxon.

ΤΑ ΤΟΥ

# ΘΕΟΚΡΙΤΟΥ

ΣΕΣΩΣΜΕΝΑ.

# THEOCRITI

QUAE EXTANT.

# ΤΑ ΤΟΥ

# ΘΕΟΚΡΙΤΟΥ

## ΣΕΣΩΣΜΕΝΑ.

# THEOCRITI

## QUAE EXTANT.

Ex Editione DANIELIS HEINSII expressa.

— nec erubuit Sylvas habitare Thalia. VIRG.

GLASGUAE,
IN AEDIBUS ACADEMICIS
EXCUDEBANT ROBERTUS ET ANDREAS FOULIS
ACADEMIAE TYPOGRAPHI
M.DCC.XLVI.

BIBLIOTHECA BODLEIANA

# Ο ΒΙΟΣ ΤΟΥ ΘΕΟΚΡΙΤΟΥ,

## καὶ τῶν ἄλλων βουκολικῶν ποιητῶν πέρι, ἐκ τοῦ Σουΐδα.

ΘΕΟκριτος Χῖος, ῥήτωρ, μαθητὴς Μητροδώρου τοῦ Ισοκρατικοῦ, ἔγραψε χρείας. Αντιπολιτεύσατο δὲ Θεοπόμπῳ τῷ ἱστορικῷ· φέρεται δὲ αὐτοῦ ἱστορία Λιβύης, καὶ ἐπιστολαὶ θαυμάσιαι. Εστι δὲ καὶ ἕτερος Θεόκριτος Πραξαγόρου καὶ Φιλίνης, οἱ δὲ Σιμμίχου, Συρακούσιος· οἱ δὲ, φασὶ Κῷον· Μετῴκησε δὲ ἐν Συρακούσαις. Οὗτος ἔγραψε τὰ καλούμενα Βουκολικὰ ἔπη Δωρίδι διαλέκτῳ. Τινὲς δὲ ἀναφέρουσιν εἰς αὐτὸν καὶ ταῦτα, Προτίδας, Ελπίδας, Υμνους, Ηρωΐνας, Επικήδεια μέλη, Ελεγείας καὶ Ιάμβους, Επιγράμματα. Ιστέον δὲ ὅτι τρεῖς γεγόνασι βουκολικῶν ἐπῶν ποιηταὶ, Θεόκριτος οὑτοσὶ, Μόσχος Σικελιώτης, καὶ Βίων ὁ Σμυρναῖος, ἔκ τινος χωριδίου καλουμένου Φλώσσης.

*

# ΓΕΝΟΣ ΘΕΟΚΡΙΤΟΥ.

ΘΕΟκριτος ὁ τῶν βουκολικῶν ποιητὴς, Συρακούσιος ἦν τὸ γένος, πατρὸς Σιμιχίδου, ὡς αὐτός φησι·

Σιμιχίδα πᾷ δὴ τὺ μεσαμέριον πόδας ἕλκεις;

Ενιοι δὲ τὸ Σιμιχίδα ἐπώνυμον εἶναι λέγουσι. δοκεῖ γὰρ σιμός τις τὴν πρόσοψιν εἶναι, πατέρα δὲ ἐσχηκέναι Πραξαγόραν, καὶ μητέρα Φιλίναν. ἀκουστὴς δὲ γέγονε Φιλιππίδου, καὶ Ασκληπιάδου, ὧν μνημονεύει. ἤκμασε δὲ κατὰ τὸν Πτολεμαίον, τὸν ἐπικληθέντα Λαγωόν. περὶ δὲ τὴν τῶν βουκολικῶν ποίησιν εὐφυὴς γενόμενος, πολλῆς δόξης ἐκ τούτων ἐπέτυχε. κατὰ γοῦν τινὰς Μόσχος καλούμενος, Θεόκριτος ἐπεκλήθη.

## Περὶ τοῦ ποῦ καὶ πῶς εὑρήθη τὰ βουκολικά.

ΤΑ βουκολικά φασιν ἐν Λακεδαίμονι εὑρεθῆναι, καὶ περιοττῶς προκοπῆς τυχεῖν. τῶν γὰρ Περσικῶν ἐνεστώτων ἔτι καὶ φόβῳ πᾶσαν τὴν Ελλάδα ταρασσόντων,

ἐνέστη καὶ ἑορτὴ Ἀρτέμιδος Καρυάτιδος. τῶν δὲ παρθένων ἀποκεκρυμμένων διὰ τὴν ἐκ τοῦ πολέμου ταραχὴν, ἀγροῖκοί τινες εἰσελθόντες εἰς τὸ ἱερὸν, ἰδίαις ᾠδαῖς τὴν Ἄρτεμιν ὕμνησαν· τῆς δὲ τούτων μούσης ἀρίστης γενομένης, παρέμεινε τὸ ἔθος καὶ ἐφυλάχθη. ἄλλοι δὲ τοῦτον τὸν τρόπον ἐν Τυνδαρίδι τῆς Σικελίας ἀχθῆναι λέγουσι τὰ βουκολικά. Ὀρέστη γὰρ ἐκκομίζοντι τὸ τῆς Ἀρτέμιδος ξόανον, ἐκ Ταύρων τῆς Σκυθίας χρησμὸς ἐξήπεσεν, ἐν ἑπτὰ ποταμοῖς ἐκ μιᾶς πηγῆς ῥέουσιν, ἀπολούσασθαι. ὁ δὲ πορευθεὶς εἰς Ῥήγιον τῆς Ἰταλίας, τὸ ἄγος ἀπενίψατο ἐν τοῖς λεγομένοις διαχώροις ποταμοῖς· ἔπειτα εἰς τὴν Τυνδαρίδα τῆς Σικελίας ἦλθεν· ὃς δὲ ἐπιχώριοι τὴν θεὸν ἰδίοις ᾄσμασι καθυμνήσαντες, ἔθει τὴν πρώτην παρέδωκαν εὕρεσιν.

## Ἕτερον Ἀληθέστερον.

Ὁ δὲ ἀληθὴς λόγος τοιοῦτος. Στάσεως ποτὲ γενομένης ἐν ταῖς Συρακούσαις, καὶ πολλῶν πολιτῶν φθαρέντων, εἰς ὁ-

μόνοιαν τοῦ πλήθους λοιπὸν ἐλθόντος, ἔδοξεν Ἄρτεμις αἰτία γεγονέναι τῆς διαλλαγῆς. οἱ δὲ ἀγροῖκοι δῶρον ἐκόμισαν, καὶ τὴν θεὸν γεγηθότες ἀνύμνησαν· ἔπειτα δὲ ταῖς ἀγροίκοις ᾠδαῖς τόπον ἔδοσαν συνήθη.

## Περὶ διαφορᾶς τῶν βουκολικῶν.

ΤΑ βουκολικὰ ἔχει διαφορὰν, τὴν τῶν ποιημάτων ἐπιγραφήν. καὶ γὰρ αἰπολικά ἐστι, καὶ ποιμενικὰ, καὶ μικτά. τὴν μέντοι ἀπὸ τῶν βοῶν εἴληφεν ἐπιγραφὴν, ὡς ἀριστεύοντος τοῦ ζώου· διὸ καὶ βουκολικὰ εἴρηται πάντα· λέγεται δὲ βουκόλος, παρὰ τὸ τὰς βόας ἐλαύνειν, ἢ ἀπὸ τοῦ τὰς βόας κωλύειν ἀτιμαγελώσας, ἢ τῶν βοῶν κορεῖν καὶ ἐπιμελεῖσθαι, τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον. ᾄδειν δέ φασιν αὐτοὺς ἄρτον ἐξηρτημένους, θηρίων ἐν ἑαυτῷ τόπους ἔχοντα, καὶ πήραν πανσπερμίας ἀνάπλεων, καὶ οἶνον ἐν αἰγείῳ ἀσκῷ, σπονδὴν νέμοντας τοῖς ὑπαντῶσι, στέφανόν τε περικεῖσθαι, καὶ κέρατα ἐλάφων προσκεῖσθαι, καὶ μετὰ χεῖρας ἔχειν

λαγωβόλον. τὸν δὲ νικήσαντα, λαμβάνειν τὸν τοῦ νενικημένου ἄρτον. κἀκεῖνον μὲν ἐπὶ τῆς τῶν Συρακουσίων μένειν πόλεως, τοὺς δὲ νενικημένους εἰς τὰς περιοικίδας χωρεῖν, ἀγείραντας ἑαυτοῖς τὰς τροφάς. διδόναι δὲ καὶ ἄλλα τινὰ, παιδιᾶς καὶ γέλωτος ἐχόμενα καὶ εὐφημοῦντας ἐπιλέγειν,

Δέξαι τὰν ἀγαθὰν τύχαν, δέξαι δ' ὑγίειαν,
Ἂν φέρομεν παρὰ τῆς θεοῦ, ἂν ἐκαλέσατο
τήνα.

## Περὶ τῆς τῶν βουκολικῶν ἐπιγραφῆς.

Εἰδύλλιον λέγεται, ὅτι εἶδός ἐστιν, ὁποῖόν ἐστι λόγος. ὑποκοριστῶς δὲ εἴρηται εἰδύλλιον.

## Περὶ τῶν τῆς ποιήσεως χαρακτήρων.

Πᾶσα ποίησις τρεῖς ἔχει χαρακτῆρας· διηγηματικὸν, δραματικὸν, καὶ μικτόν. τὸ δὲ βουκολικὸν ποίημα, μίγμα ἐστὶ παντὸς εἴδους, καθάπερ συγκεκραμένον.

διὸ καὶ χαριέστατον, τῇ ποικιλίᾳ τῆς φράσεως, μᾶλλον δὲ τῆς κράσεως. ποτὲ μὲν συγκείμενον ἐκ διηγηματικοῦ, ποτὲ δὲ ἐκ δραματικοῦ· ποτὲ δὲ ἐκ μικτοῦ, ἤγουν διηγηματικοῦ καὶ δραματικοῦ. ὁτὲ δὲ ὡς ἂν τύχῃ· εἰς ὅσον δ᾽ οἷόν τε ἐστι, αὕτη ἡ ποίησις τὰ τῶν ἀγροικῶν ἤθη ἐκμάσσεται, τερπνῶς πάνυ τοὺς τῇ ἀγροικίᾳ σκυθρωποὺς τὸν βίον χαρακτηρίζουσα· ἐκπέφευγε δὲ καὶ τὸ ἄγαν ἁδρὸν καὶ ὑπέρογκον τῆς ποιήσεως.

## THEOCRITI IDYLLIORUM
## INDEX.


α'. Εἰδύλλιον, Θύρσις, ἢ Ὠδή.
β'. Φαρμακεύτρια.
γ'. Αἰπόλος ἢ Ἀμαρυλλὶς, ἢ Κωμαστής.
δ'. Νομεῖς.
ε'. Ὁδοιπόροι, ἢ βουκολιασταί.
ς'. Βουκολιασταί.
ζ'. Θαλύσια, ἢ Ἐαρινὴ ὁδοιπορία.
η'. Βουκολιασταί.
θ'. Νομεὺς, ἢ Βουκόλοι.
ι'. Ἐργατίναι, ἢ Θερισταί.
ια'. Κύκλωψ.
ιβ'. Αἴτης.
ιγ'. Ὕλας.
ιδ'. Κυνίσκας Ἔρως, ἢ Θυώνιχος.
ιε'. Συρακούσιαι, ἢ Ἀδωνιάζουσαι.
ις'. Χάριτες, ἢ Ἱέρων.
ιζ'. Ἐγκώμιον εἰς Πτολεμαῖον.
ιη'. Ἑλένης ἐπιθαλάμιος.
ιθ'. Κηριοκλέπτης.
κ'. Βουκολίσκος.
κα'. Ἁλιεῖς.
κβ'. Διόσκουροι.
κγ'. Ἐραστὴς, ἢ Δύσερως.
κδ'. Ἡρακλίσκος.
κε'. Ἡρακλῆς λεοντοφόνος, ἢ κατά τινα ἀντίγραφα, Αὐγείου κλῆρος.
κς'. Ληναί, ἢ Βάκχαι.
κζ'. Ὀαριστὺς Δάφνιδος καὶ Κόρης.
κη'. Ἠλακάτα.
κθ'. Παιδικά.
λ'. Εἰς νεκρὸν Ἄδωνιν.


## ΤΟΥ ΘΕΟΚΡΙΤΟΥ,
### εἰς τὴν ἑαυτοῦ βίβλον.

ΑΛΛΟΣ Ο ΧΙΟΣ· ΕΓΩ ΔΕ ΘΕΟΚΡΙΤΟΣ ΟΣ ΤΑΔΕ ΓΡΑΨΑ,
ΕΙΣ ΑΠΟ ΤΩΝ ΠΟΛΛΩΝ ΕΙΜΙ ΣΥΡΑΚΟΣΙΩΝ·
ΥΙΟΣ ΠΡΑΞΑΓΟΡΑΟ, ΠΕΡΙΚΛΕΙΤΗΣ ΤΕ ΦΙΛΙΝΑΣ.
ΜΩΥΣΑΝ Δ' ΟΘΝΕΙΗΝ ΟΥ ΠΟΤ' ΕΦΕΛΚΥΣΑΜΗΝ.

# ΥΠΟΘΕΣΙΣ

## ΤΟΥ ΠΡΟΤΟΥ ΕΙΔΥΛΛΙΟΥ.

Εν τούτῳ τῷ εἰδυλλίῳ διαλέγονται πρὸς ἀλλήλους Θύρσις ποιμὴν, καὶ Αἰπόλος. ὁ δὲ Θύρσις βουκολικῶς ᾄδει τὸν ὑπ᾽ ἔρωτος τηκόμενον καὶ ἀποθνήσκοντα Δάφνιδα· καὶ ἀντὶ τούτου αἶγα ἐς τρὶς ἀμέλξαι, καὶ καλὸν κισσύβιον παρὰ τοῦ Αἰπόλου γέρας λαμβάνει.

# ΘΕΟΚΡΙΤΟΥ

## ΘΥΡΣΙΣ, ἢ ΩΔΗ,

### Εἰδύλλιον α΄.

ΘΥΡΣΙΣ ΠΟΙΜΗΝ, καὶ ΑΙΠΟΛΟΣ.

ΑΔΥ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς, αἰπόλε, τήνα,
Α ποτὶ ταῖς παγαῖσι, μελίσδεται· ἁδὺ δὲ καὶ τὺ
Συρίσδες· μετὰ Πᾶνα τὸ δεύτερον ἆθλον ἀποισῇ.
Αἴκα τῆνος ἕλῃ κεραὸν τράγον, αἶγα τὺ λαψῇ·
Αἴκα δ' αἶγα λάβῃ τῆνος γέρας, ἐς τὲ καταῤῥεῖ
Α χίμαρος. χιμάρῳ δὲ καλὸν κρῆς, ἔς τέ κ' ἀμέλξῃς.
ΑΙΠ. Αδιον ὦ ποιμὰν, τὸ τεὸν μέλος, ἢ τὸ καταχὲς
Τῆν' ἀπὸ τᾶς πέτρας καταλείβεται ὑψόθεν ὕδωρ.
Αἴκα ταὶ μῶσαι τὰν οἴϊδα δῶρον ἄγωνται,
Αρνα τὺ σακίταν λαψῇ γέρας. αἰ δέ κ' ἀρέσκῃ
Τήναις ἄρνα λαβεῖν, τὺ δὲ τὰν ὄϊν ὕστερον ἀξεῖς.
ΘΥ. Λῇς ποτὶ τᾶν νυμφᾶν, λῇς αἰπόλε τῇδε καθίξας,
Ως τὸ κάταντες τοῦτο γεώλοφον, αἵ τε μυρῖκαι,
Συρίσδεν; τὰς δ' αἶγας ἐγὼν ἐν τῷδε νομευσῶ.
Α. Οὐ θέμις ὦ ποιμὰν, τὸ μεσαμβρινὸν, οὐ θέμις ἄμμιν
Συρίσδεν· τὸν Πᾶνα δεδοίκαμες. ἦ γὰρ ἀπ' ἄγρας
Τανίκα κεκμακὼς ἀμπαύεται· ἐντί γε πικρὸς,
Καί οἱ ἀεὶ δριμεῖα χολὰ ποτὶ ῥινὶ κάθηται.
Αλλὰ (τὺ γὰρ δὴ Θύρσι τὰ Δάφνιδος ἄλγεα εἴδες,
Καὶ τᾶς βωκολικᾶς ἐπὶ τὸ πλέον ἵκεο μώσας,)
Δεῦρ' ὑπὸ τὰν πτελέαν ἑσδώμεθα, τῶ τε Πριήπω
Καὶ τᾶν κρανιάδαν κατεναντίον, ᾇπερ ὁ θῶκος
Τῆνος ὁ ποιμενικὸς καὶ ταὶ δρύες. αἰ δέ κ' ἀείσῃς,

Ὡς ποκα τὸν Λυβύαθε ποτὶ Χρόμιν ᾆσας ἐρίσδων,
Αἶγά τέ τοι δωσῶ διδυματόκον ἐς τρὶς ἀμέλξαι.
Ἃ δύ' ἔχοισ' ἐρίφως, ποταμέλξεται ἐς δύο πέλλας·
Καὶ βαθὺ κισσύβιον κεκλυσμένον ἁδέϊ καρῷ,
Ἀμφῶες, νεοτευχὲς, ἔτι γλυφάνοιο ποτόσδον·
Τῶ περὶ μὲν χείλη μαρύεται ὑψόθι κισσὸς,
Κισσὸς ἑλιχρύσῳ κεκονισμένος· ἁ δὲ κατ' αὐτὸν
Καρπῷ ἕλιξ εἰλεῖται ἀγαλλομένα κροκόεντι.
Ἐντοσθεν δὲ, γυνὰ, τὶ θεῶν δαίδαλμα, τέτυκται,
Ἀσκητὰ πέπλῳ τε καὶ ἄμπυκι· πὰρ δέ οἱ, ἄνδρες
Καλὸν ἐθειράζοντες ἀμοιβαδὶς ἄλλοθεν ἄλλος
Νεικείευσ' ἐπέεσσι. τὰ δ' ὐ φρενὸς ἅπτεται αὐτᾶς.
Ἀλλοκα μὲν τῆνον ποτιδέρκεται ἄνδρα γελεῦσα,
Ἀλλοκα δ' αὖ ποτὶ τὸν, ῥιπτεῖ νόον. οἱ δ' ὑπ' ἔρωτος
Δηθὰ κυλοιδιόωντες ἐτώσια μοχθίζοντι.
Τοῖς δὲ μέτα, γριπεύς τε γέρων πέτρα τε τέτυκται
Λεπρὰς, ἐφ' ᾇ σπεύδων, μέγα δίκτυον ἐς βόλον ἕλκει
Ὁ πρέσβυς, κάμνοντι τὸ καρτερὸν ἀνδρὶ ἐοικώς·
Φαίης κεν γυίων νιν ὅσον σθένος ἐλλοπιεύειν·
Αἱ δέ οἱ ᾠδήκαντι κατ' αὐχένα πάντοθεν ἶνες,
Καὶ πολιῷ περ ἐόντι· τὸ δὲ σθένος ἄξιον ἅβας.
Τυτθὸν δ' ὅσσον ἄπωθεν ἁλιτρύτοιο γέροντος,
Πυρναίαις σταφυλαῖσι καλὸν βέβριθεν ἀλωά.
Τὰν ὀλίγος τις χῶρος ἐφ' αἱμασιαῖσι φυλάσσει
Ἡμένος· ἀμφὶ δέ μιν δύ' ἀλώπεκες· ἁ μὲν, ἀν' ὄρχως
Φοιτῇ, σινομένα τὰν τρώξιμον· ἁ δ', ἐπὶ πήρᾳ
Πάντα δόλον τεύχοισα, τὸ παιδίον ὐ πρὶν ἀνάσειν
Φατὶ πρὶν ἢ ἀκράτιστον ἐπὶ ξηροῖσι καθίξοι.
Αὐτὰρ ὅγ' ἀνθερίκεσσι καλὰν πλέκει ἀκριδοθήραν,
Σχοίνῳ ἐφαρμόσδων· μέλεται δέ οἱ ὔτέ τι πήρας,
Οὔτε φυτῶν τοσσῆνον ὅσον περὶ πλέγματα γαθεῖ.

Παντᾶ

Παντᾶ δ' ἀμφὶ δέπας περιπέπταται ὑγρὸς ἄκανθος,
Αἰπολικόν τι θάημα· τέρας κέ τυ θυμὸν ἀτύξαι.
Τοῦ μὲν, ἐγὼ πορθμεῖ Καλυδωνίῳ αἶγά τ' ἔδωκα
Ωνον, καὶ τυρόεντα μέγαν λευκοῖο γάλακτος.
Οὐδέτι πω ποτὶ χεῖλος ἐμὸν θίγεν, ἀλλ' ἔτι κεῖται
Αχραντον· τῷ κέν τυ μάλα πρόφρων ἀρεσαίμαν,
Αἴκέν μοι τὺ φίλος τὸν ἐφίμερον ὕμνον ἀείσης.
Κοῦ τοι τὶ φθονέω· πόταγ' ὦ γαθέ· τὰν γὰρ ἀοιδὰν
Οὔτί πω εἰς Αΐδαν γε τὸν ἐκλελάθοντα φυλαξεῖς.
ΘΥ. Αρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Θύρσις ὅδ' ὡξ Αἴτνας, καὶ Θύρσιδος ἁδέα φωνά.
Πᾶ πόκ' ἄρ' ἦσθ' ὅκα Δάφνις ἐτάκετο; πᾶ πόκα νύμφαι;
Η κατὰ Πηνειῶ καλὰ τέμπεα; ἢ κατὰ Πίνδω;
Οὐ γὰρ δὴ ποταμοῖο μέγαν ῥόον εἴχετ' Ανάπω,
Οὐδ' Αἴτνας σκοπιὰν, οὐδ' Ακιδος ἱερὸν ὕδωρ.
Αρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Τῆνον μὰν θῶες, τῆνον λύκοι ὠρύσαντο,
Τῆνον χὠ 'κ δρυμοῖο λέων ἀνέκλαυσε θανόντα.
Αρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Πολλαί οἱ πὰρ ποσσὶ βόες, πολλοὶ δέ τε ταῦροι,
Πολλαὶ δ' αὖ δαμάλαι καὶ πόρτιες ὠδύραντο.
Αρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ενθ' Ερμᾶς πράτιστος ἀπ' οὔρεος. εἶπε δὲ, Δάφνι,
Τίς τυ κατατρύχει; τίνος ὦ 'γαθὲ τόσσον ἔρασσαι;
Αρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ηνθον τοὶ βῶται, τοὶ ποιμένες, ᾡπόλοι ἦνθον·
Πάντες ἀνηρώτευν τί πάθοι κακόν. ἦνθ' ὁ Πρίηπος,
Κῆφα, Δάφνι τάλαν, τί τὺ τάκεαι; ἁ δέ τε κώρα
Πᾶσαν ἀνὰ κράναν, πάντ' ἄλσεα ποσσὶ φορεῖται,
(Αρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς)
Ζατεῦσ'· ἆ δύσερώς τις ἄγαν καὶ ἀμήχανος ἐσσί.

Βώτας μὰν ἐλέγευ· νῦν δ' αἰπόλῳ ἀνδρὶ ἔοικας.
Ὡιπόλος ὄκκ' ἐσορῇ τὰς μηκάδας, οἷα βατεῦνται,
Τάκεται ὀφθαλμὼς, ὅτι οὐ τράγος αὐτὸς ἔγεντο.
Αρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Καὶ τὺ δ', ἐπεί κ' ἐσορῇς τὰς παρθένος, οἷα γελῶντι,
Τάκεαι ὀφθαλμὼς, ὅτι οὐ μετὰ ταῖσι χορεύεις.
Τὼς δ' οὐδὲν ποτιλέξαθ' ὁ βωκόλος· ἀλλὰ τὸν αὐτῶ
Ανυε πικρὸν ἔρωτα, καὶ ἐς τέλος ἄνυε μοίρας.
Αρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ηνθέ γε μὰν ἀδεῖα καὶ ἁ Κύπρις γελάοισα,
Λάθρῃ μὲν γελάοισα, βαρὺν δ' ἀνὰ θυμὸν ἔχοισα·
Κῆπε, Τύ θην τὸν ἔρωτα κατεύχεο Δάφνι λυγιξεῖν;
Αρ' οὐκ αὐτὸς ἔρωτος ὑπ' ἀργαλέω ἐλυγίχθης;
Αρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Τὰν δ' ἄρα χὠ Δάφνις ποταμείψατο, Κύπρι βαρεῖα,
Κύπρι νεμεσσατὰ, Κύπρι θνατοῖσιν ἀπεχθής.
Ηδη γὰρ φράσδει πάνθ' ἅλιον ἄμμι δεδύκειν.
Δάφνις κὴν ἀΐδᾳ κακὸν ἔσσεται ἄλγος ἔρωτος.
Αρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Οὐ λέγεται τὰν Κύπριν ὁ βωκόλος, ἕρπε ποτ' Ιδαν,
Ερπε ποτ' Αγχίσαν· τηνεὶ δρύες, ὧδε κύπειρος,
Ωδε καλὸν βομβεῦντι ποτὶ σμάνεσσι μέλισσαι.
Αρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ωραῖος χὤδωνις, ἐπεὶ καὶ μᾶλα νομεύει,
Καὶ πτῶκας βάλλει καὶ θηρία τἆλλα διώκει.
Αρχετε βωκολικᾶς, μῶσαι, φίλαι, ἄρχετ' ἀοιδᾶς.
Αὖτις ὅπως στάσῃ Διομήδεος ἆσσον ἰοῖσα,
Καὶ λέγε, Τὸν βώταν νικῶ Δάφνιν, ἀλλὰ μάχευ μοι.
Αρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ω λύκοι, ὦ θῶες, ὦ ἀν' ὤρεα φωλάδες ἄρκτοι,
Χαίρεθ'· ὁ βωκόλος ὔμμιν ἐγὼ Δάφνις οὐκέτ' ἀν' ὕλαν,

Οὐκετ'

Οὐκέτ' ἀνὰ δρυμὼς, ὐκ ἄλσεα. χαῖρ' Ἀρέθοισα,
Καὶ ποταμοὶ, τοὶ χεῖτε καλὸν κατὰ Θύμβριδος ὕδωρ.
Ἄρχετε βωκολικᾶς, μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Δάφνις ἐγὼν ὅδε τῆνος ὁ τὰς βόας ὧδε νομεύων,
Δάφνις ὁ τὼς ταύρως ϗ πόρτιας ὧδε ποτίσδων.
Ἄρχετε βωκολικᾶς, μῶσαι, φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ὦ Πὰν Πὰν, εἴτ' ἐσσὶ κατ' ὤρεα μακρὰ Λυκαίω,
Εἴτε τύ γ' ἀμφιπολεῖς μέγα Μαίναλον· ἔνθ' ἐπὶ νᾶσον
Τὰν Σικελὰν, Ἑλίκας δὲ λίπε ῥίον, αἰπύ τε σᾶμα
Τῆνο Λυκαονίδαο, τὸ ϗ μακάρεσσιν ἀγαστόν.
Λήγετε βωκολικᾶς μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Ἔνθ' ὦναξ, ϗ τάνδε φέρ' εὐπάκτοιο μελίπνυν
Ἐκ κηρῶ σύριγγα καλὰν, περὶ χεῖλος ἑλικτάν.
Ἦ γὰρ ἐγὼν ὑπ' ἔρωτος ἐς ἅδαν ἕλκομαι ἤδη.
Λήγετε βωκολικᾶς μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Νῦν ἴα μὲν φορέοιτε βάτοι, φορέοιτε δ' ἄκανθαι·
Ἁ δὲ καλὰ νάρκισσος ἐπ' ἀρκεύθοισι κομάσαι·
Πάντα δ' ἔναλλα γένοιτο, ϗ ἁ πίτυς ἄχνας ἐνείκαι·
Δάφνις ἐπεὶ θνάσκει· ϗ τὼς κύνας ὤλαφος ἕλκοι,
Κὴξ ὀρέων τοὶ σκῶπες ἀηδόσι γαρύσαιντο.
Λήγετε βωκολικᾶς μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Χὼ μὲν, τόσσ' εἰπὼν ἀπεπαύσατο· τὸν δ' Ἀφροδίτα
Ἤθελ' ἀνορθῶσαι· τά γε μὰν λίνα πάντα λελοίπει
Ἐκ Μοιρᾶν· χὼ Δάφνις ἔβα ῥόον, ἔκλυσε δίνα
Τὸν μώσαις φίλον ἄνδρα, τὸν ὐ νύμφαισιν ἀπεχθῆ.
Λήγετε βωκολικᾶς μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς·
Καὶ τὺ δίδυ τὰν αἶγα, τό τε σκύφος, ὥς μιν ἀμέλξας,
Σπείσω ταῖς μοίσαις. ὦ χαίρετε πολλάκι μοῖσαι,
Χαίρετ'· ἐγὼ δ' ὔμμιν ϗ ἐς ὕστερον ἅδιον ᾀσῶ.
ΑΙ. Πλῆρές τοι μέλιτος τὸ καλὸν στόμα Θύρσι γένοιτο,
Πλῆρες δὲ σχαδόνων· ϗ ἀπ' Αἰγίλω ἰσχάδα τρώγοις

Ἁδεῖαν·

Ἁδεῖαν· τέττιγος ἐπεὶ τύγε φέρτερον ᾄδεις.
Ἠνὶ δέ τοι τὸ δέπας· θᾶσαι φίλος ὡς καλὸν ὄσδει·
Ὡρᾶν πεπλύσθαί νιν ἐπὶ κράναισι δοκασεῖς.
Ὧδ' ἴθι Κισσαίθα. τὺ δ' ἄμελγέ νιν. αἱ δὲ χίμαιραι
Οὐ μὴ σκιρτάσητε, μὴ ὁ τράγος ὔμμιν ἀναστῇ.

## ΥΠΟΘΕΣΙΣ.

Ὑπόκειται Σιμαίθα, Δέλφιδος Μυνδίου τινὸς ἐρῶσα· ὃν ἐκ παλαίστρας φίλτροις τε καὶ φαρμάκοις, διά τινος θεραπαίνης Θεστύλιδος ὑποδιακονουμένη, ἐφ' ἑαυτὴν πειρᾶται μετάγειν· ἐπικαλουμένη τὴν Σελήνην καὶ τὴν Ἑκάτην, ὡς ἐπὶ τῷ ἔρωτι συμβαλλομένας νυκτερινὰς θεάς. τὴν δὲ Θεστύλιδα ὁ Θεόκριτος ἐκ τῶν Σώφρονος μετήνεγκε μίμων.

# ΦΑΡΜΑΚΕΥΤΡΙΑ,
## Εἰδύλλιον β'.

Πᾷ μοι ταὶ δάφναι; φέρε Θέστυλι. πᾷ δὲ τὰ φίλτρα;
Στέψον τὰν κελέβαν φοινικέῳ οἰὸς ἀώτῳ,
Ὡς τὸν ἐμοὶ βαρὺν εὖντα φίλον καταθύσομαι ἄνδρα,
Ὅς μοι δωδεκαταῖος ἀφ' ὧ τάλας οὐδέποθ' ἥκει,
Οὐδ' ἔγνω πότερον τεθνάκαμες ἢ ζοοὶ εἰμές,
Οὐδὲ θύρας ἄρραξεν ἀνάρσιος. ἦ ῥά οἱ ἄλλᾳ
Ὤιχετ' ἔχων ὅ τ' Ἔρως ταχινὰς φρένας, ἅ τ' Ἀφροδίτα.
Βασεῦμαι ποτὶ τὰν Τιμαγήτοιο παλαίστραν
Αὔριον, ὥς νιν ἴδω, καὶ μέμψωμ' οἷά με ποιεῖ.
Νῦν δέ νιν ἐκ θυέων καταθύσομαι. ἀλλὰ Σελάνα
Φαῖνε καλόν· τὶν γὰρ ποταείσομαι ἄσυχα δαῖμον,
Τᾷ χθονίᾳ θ' Ἑκάτᾳ, τὰν καὶ σκύλακες τρομέοντι

Ἐρχο-

Ερχομέναν νεκύων ἀνά τ' ἠρία καὶ μέλαν αἷμα.
Χαῖρ' Εκάτα δασπλῆτι, καὶ ἐς τέλος ἄμμιν ὀπήδει,
Φάρμακα ταῦθ' ἔρδοισα χερείονα μήτέ τι Κίρκης,
Μήτέ τι Μηδείας, μήτε ξανθᾶς Περιμήδας.
 Ιϋγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Αλφιτά τοι πρῶτον πυρὶ τάκεται. ἀλλ' ἐπίπασσε
Θέστυλι δειλαία· πᾶ τὰς φρένας ἐκπεπότασαι;
Η ῥά γέ τοι μυσαρὰ καὶ τὶν ἐπίχαρμα τέτυγμαι;
Πάσσ' ἅμα καὶ λέγε ταῦτα, Τὰ Δέλφιδος ὀστέα πάσσω.
 Ιϋγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Δέλφις ἔμ' ἀνίασεν· ἐγὼ δ' ἐπὶ Δέλφιδι δάφναν
Αἴθω. χ' ὡς αὐτὰ λακεῖ, μέγα καππυρίσασα,
Κἠξαπίνης ἅφθη, κοὐδὲ σποδὸν εἴδομες αὐτᾶς,
Οὕτω τοι καὶ Δέλφις ἐνὶ φλογὶ σάρκ' ἀμαθύνοι.
 Ιϋγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Ως τοῦτον τὸν καρὸν ἐγὼ σὺν δαίμονι τάκω,
Ως τάκοιθ' ὑπ' ἔρωτος ὁ Μύνδιος αὐτίκα Δέλφις.
Χ' ὡς δινεῖθ' ὅδε ῥόμβος ὁ χάλκεος, ἐξ Αφροδίτας,
Ως κεῖνος δινοῖτο ποθ' ἁμετέρῃσι θύρῃσιν.
 Ιϋγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Νῦν θυσῶ τὰ πίτυρα· τὺ δ' Αρτεμι καὶ τὸν ἐν ᾅδα
Κινήσαις Ραδάμανθα, καὶ εἴτι περ ἀσφαλὲς ἄλλο.
Θέστυλι ταὶ κύνες ἅμμιν ἀνὰ πτόλιν ὠρύονται.
Α θεὸς ἐν τριόδοισι· τὸ χαλκίον ὡς τάχος ἄχει.
 Ιϋγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Ηνίδε, σιγᾷ μὲν πόντος, σιγῶντι δ' ἆται·
Α δ' ἐμὰ οὐ σιγᾷ στέρνων ἔντοσθεν ἀνία.
Αλλ' ἐπὶ τήνῳ πᾶσα καταίθομαι, ὅς με τάλαιναν
Αντὶ γυναικὸς ἔθηκε κακὰν καὶ ἀπάρθενον ἦμεν.
 Ιϋγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Ες τρὶς ἀποσπένδω, καὶ τρὶς τάδε πότνια φωνῶ.

Εἴτε γυνὰ τήνῳ παρακέκλιται, εἴτε ϗ ἀνὴρ,
Τόσσον ἔχοι λάθας ὅσσον πόκα Θασέα φαντὶ
Εν Δίᾳ λασθῆμεν εὐπλοκάμω Αριάδνας.
Ιϋγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Ιππομανὲς φυτόν ἐστι παρ᾽ Αρκάσι, τῷ δ᾽ ἐπὶ πᾶσαι
Καὶ πῶλοι μαίνονται ἀν᾽ ὤρεα ϗ θοαὶ ἵπποι·
Ως ϗ Δέλφιν ἴδοιμι ϗ ἐς τόδε δῶμα περῆσαι
Μαινομένῳ ἴκελον, λιπαρᾶς ἔκτοσθε παλαίστρας.
Ιυγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Τοῦτ᾽ ἀπὸ τᾶς χλαίνας τὸ κράσπεδον ὤλεσε Δέλφις,
Ω ᾽γὼ νῦν τίλλοισα κατ᾽ ἀγρίῳ ἐν πυρὶ βάλλω.
Αἰαῖ ἔρως ἀνιηρὲ, τί μευ μέλαν ἐκ χροὸς αἷμα
Εμφὺς, ὡς λιμνᾶτις ἅπαν ἐκ βδέλλα πέπωκας;
Ιϋγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Σαῦράν τοι τρίψασα, κακὸν ποτὸν αὔριον οἰσῶ.
Θέστυλι, νῦν δὲ λαβοῖσα τὺ τὰ θρόνα ταῦθ᾽ ὑπόμαξον
Τᾶς τήνω φλιᾶς καθυπέρτερον· ἇς ἔτι ϗ νῦν
Εκ θυμῶ δέδεμαι· ὁ δέ μευ λόγον οὐδένα ποιεῖ.
Καὶ λέγ᾽ ἐπιφθύσδοισα, Τὰ Δέλφιδος ὀστέα πάσσω.
Ιϋγξ ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Νῦν δὴ μώνη ἐοῖσα πόθεν τὸν ἔρωτα δακρυσῶ;
Εκ τίνος ἄρξευμαι; τίς μοι κακὸν ἄγαγε τοῦτο;
Ηνθ᾽ ἁ τῶ Υβούλοιο κανηφόρος ἄμμιν Αναξὼ
Αλσος ἐπ᾽ Αρτέμιδος. τᾷ δήποκα πολλὰ μὲν ἄλλα
Θηρία πομπεύεσκε περισταδὸν, ἐν δὲ λέαινα.
Φράζεό μευ τὸν ἔρωθ᾽ ὅθεν ἵκετο, πότνα Σελάνα.
Καί μ᾽ ἁ Θευχαρίλα Θρᾶσσα τροφὸς ἁ μακαρῖτις,
Αγχίθυρος ναίοισα κατεύξατο ϗ λιτάνευσε
Τὰν πομπὰν θάσασθαι. ἐγὼ δέ οἱ ἁ μεγάλοιτος
Ωμάρτευν, βύσσοιο καλὸν σύροισα χιτῶνα,
Κἀμφιστειλαμένα τὰν ξυστίδα τὰν Κλεαρίστας·

Φράζεό

Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
Ηδη δ' εὖσα μέσον κατ' ἀμαξιτὸν, ᾇ τὰ Λύκωνος,
Εἶδον Δέλφιν ὁμοῦ τε καὶ Εὐδάμιππον ἰόντας.
Τοῖς δ' ἦν ξανθοτέρα μὲν ἑλιχρύσοιο γενειὰς,
Στήθεα δὲ στίλβοντα πολὺ πλέον ἢ τὺ Σελάνα,
Ως ἀπὸ γυμνασίοιο καλὸν πόνον ἄρτι λιποῦσι.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
Χὠς ἴδον, ὡς ἐμάνην, ὥς μευ περὶ θυμὸς ἰάφθη
Δειλαίας, τὸ δὲ κάλλος ἐτάκετο, κοὐδ' ἔτι πομπᾶς
Τήνας ἐφρασάμαν, οὐδ' ὡς πάλιν οἴκαδ' ἀπῆνθον,
Εγνων· ἀλλά με τις καπυρὰ νόσος ἐξαλάπαξε·
Κείμαν δ' ἐν κλιντῆρι δέκ' ἄματα καὶ δέκα νύκτας.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
Καί μευ χρὼς μὲν ὁμοῖος ἐγίνετο πολλάκι θάψῳ.
Ερρευν δ' ἐκ κεφαλῆς πᾶσαι τρίχες· αὐτὰ δὲ λοιπὰ
Οστέ' ἔτ' ἦς καὶ δέρμα. καὶ ἐς τίνος οὐκ ἐπέρησα,
Η ποίας ἔλιπον γραίας δόμον, ἅτις ἐπᾶδεν;
Αλλ' ἦς οὐδὲν ἐλαφρόν· ὁ δὲ χρόνος ἄνυτο φεύγων.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
Χ' οὕτω τᾷ δώλᾳ τὸν ἀλαθέα μῦθον ἔλεξα,
Εἰ δ' ἄγε Θεστυλί μοι χαλεπᾶς νόσω εὗρέ τι μᾶχος.
Πᾶσαν ἔχει με τάλαιναν ὁ Μύνδιος. ἀλλὰ μολοῖσα
Τήρησον ποτὶ τὰν Τιμαγήτοιο παλαίστραν.
Τηνεὶ γὰρ φοιτῇ, τηνεὶ δέ οἱ ἁδὺ καθῆσθαι.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
Κἤπει κάνιν ἐόντα μάθοις μόνον, ἅσυχα νεῦσον.
Κἤφ' ὅτι Σιμαίθα τὺ καλεῖ· καὶ ὑφάγεο τᾷδε.
Ως ἐφάμαν· ἃ δ' ἦνθε, καὶ ἄγαγε τὸν λιπαρόχρων
Εἰς ἐμὰ δώματα Δέλφιν. ἐγὼ δέ νιν ὡς ἐνόησα
Αρτι θύρας ὑπὲρ οὐδὸν ἀμειβόμενον ποδὶ κούφῳ,
(Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα)

Πᾶσα μὲν ἐψύχθην χιόνος πλέον, ἐκ δὲ μετώπω
Ιδρώς μευ κοχύεσκεν ἴσον νοτίαισιν ἐέρσαις.
Οὐδέ τι φωνᾶσαι δυνάμαν, οὐδ' ὅσσον ἐν ὕπνῳ
Κνυζῶνται φωνεῦντα φίλαν ποτὶ ματέρα τέκνα·
Αλλ' ἐπάγην δαγῦδι καλὸν χρόα πάντοθεν ἶσα.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
Καί μ' ἐσιδὼν ὤστοργος, ἐπὶ χθονὸς ὄμματα πήξας
Εζετ' ἐπὶ κλιντῆρι· καὶ ἑζόμενος φάτο μῦθον,
Η ῥά με Σιμαίθα τόσον ἔφθασας ὅσσον ἐγώ θην
Πράν ποκα τὸν χαρίεντα τρέχων ἔφθαξα Φιλῖνον,
Ες τὸ τεὸν καλέσασα τόδε στέγος, ἢ με παρῆμεν.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
Ηνθον γὰρ κἠγὼ, καὶ τὸν γλυκὺν ἦνθον ἔρωτα,
Η τρίτος ἠὲ τέταρτος ἐὼν φίλος αὐτίκα νυκτὸς,
Μᾶλα μὲν ἐν κόλποισι Διωνύσοιο φυλάσσων,
Κρατὶ δ' ἔχων λεύκαν, Ηρακλέος ἱερὸν ἔρνος,
Πάντοτε πορφυρέῃσι περιζώστρῃσιν ἑλικτάν.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
Καὶ μ' εἰ μέν κ' ἐδέχεσθε, τάδ' ἦς φίλα· καὶ γὰρ ἐλαφρὸς
Καὶ καλὸς πάντεσσι μετ' ἠϊθέοισι καλεῦμαι·
Εὗδόν τ' εἴκε μόνον τὸ καλὸν στόμα τεῦ ἐφίλασα·
Εἰ δ' ἄλλᾳ μ' ὠθεῖτε, καὶ ἁ θύρα εἴχετο μοχλῷ,
Πάντως καὶ πελέκεις καὶ λαμπάδες ἦνθον ἐφ' ὑμέας·
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
Νῦν δὲ χάριν μὲν ἔφαν τᾷ Κύπριδι πρᾶτον ὀφείλειν·
Καὶ μετὰ τὰν Κύπριν, τύ με δευτέρα ἐκ πυρὸς εἵλευ,
Ω γύναι, ἐσκαλέσασα τεὸν ποτὶ τοῦτο μέλαθρον,
Αὔτως ἡμίφλεκτον. Ερως δ' ἄρα καὶ Λιπαραίου
Πολλάκις Αφαίστοιο σέλας φλογερώτερον αἴθει.
Φράζεό μευ τὸν ἔρωθ' ὅθεν ἵκετο, πότνα Σελάνα.
Σὺν δὲ κακαῖς μανίαις καὶ παρθένον ἐκ θαλάμοιο

Καὶ

Καὶ νύμφαν ἐφόβησ' ἔτι δέμνια θερμὰ λιποῖσαν
Ανέρος. ὣς ὁ μὲν εἶπεν· ἐγὼ δ' οἱ ἁ ταχυπειθὴς
Χειρὸς ἐφαψαμένα μαλακῶν ἔκλιν' ἐπὶ λέκτρων·
Καὶ ταχὺ χρὼς ἐπὶ χρωτὶ πεπαίνετο, ϗ τὰ πρόσωπα
Θερμότερ' ἦς ἢ πρόσθε· ϗ ἐψιθυρίσδομες ἁδύ.
Χὼς κά τοι μὴ μακρὰ φίλα θρυλέοιμι Σελάνα,
Επράχθη τὰ μέγιστα, ϗ ἐς πόθον ἤνθομες ἄμφω.
Κοὔτέ τι τῆνος ἐμὶν ἐπεμέμψατο μέσφα τοι ἐχθὲς,
Οὔτ' ἐγὼ αὖ τήνῳ. ἀλλ' ἦνθέ μοι ἅ τε Φιλίστας
Μάτηρ τᾶς γε ἐμᾶς αὐλητρίδος, ἅ τε Μελιξοῦς
Σάμερον, ἀνίκα πέρ τε ποτ' οὐρανὸν ἔτρεχον ἵπποι,
Αῶ τὰν ῥοδόπαχυν ἀπ' Ωκεανοῖο φέροισαι·
Κῆπέ μοι ἄλλά τε πολλά, ϗ ὡς ἄρα Δέλφις ἐρᾶται.
Κῆτέ μιν αὖτε γυναικὸς ἔχει πόθος, εἴτε ϗ ἀνδρὸς,
Οὐκ ἔφατ' ἀτρεκὲς ἴδμεν· ἀτὰρ τόσον αἰὲν ἔρωτος
Ακράτω ἐπεχεῖτο, ϗ ἐς τέλος ᾤχετο φεύγων·
Καὶ φάτο οἱ στεφάνοισι τὰ δώματα τῆνα πυκάσδεν.
Ταῦτά μοι ἁ ξεῖνα μυθήσατο· ἔστι δ' ἀλαθής.
Η γάρ μοι ϗ τρὶς ϗ τετράκις ἄλλοτ' ἐφοίτη,
Καὶ παρ' ἐμὶν ἐτίθει τὰν Δωρίδα πολλάκις ὄλπαν.
Νῦν δέ τε δωδεκαταῖος ἀφ' ὧτέ νιν οὐδέ ποκ' εἶδον.
Ηρ' οὐκ ἄλλό τι τερπνὸν ἔχει, ἁμῶν δὲ λέλασται;
Νῦν μὲν τοῖς φίλτροις καταθύσομαι. αἰ δ' ἔτι κἠμὲ
Λυπῇ, τὰν ἀΐδαο πύλαν (ναὶ μοίρας) ἀραξεῖ.
Τοῖά οἱ ἐν κίστᾳ κακὰ φάρμακα φαμὶ φυλάσσειν,
Ασσυρίω, δέσποινα, παρὰ ξείνοιο μαθοῖσα.
Αλλὰ τὺ μὲν χαίροισα, ποτ' Ωκεανὸν τρέπε πώλως
Πότνι'· ἐγὼ δ' οἰσῶ τὸν ἐμὸν πόνον, ὥσπερ ὑπέσταν.
Χαῖρε Σεληναία λιπαρόχροε· χαίρετε δ' ἄλλοι
Αστέρες, εὐκήλοιο κατ' ἄντυγα νυκτὸς ὀπαδοί.

## ΥΠΟΘΕΣΙΣ.

Ἐπιγράφεται μὲν τὸ Εἰδύλλιον τοῦτο Αἰπόλος, ἀπὸ τοῦ ἐρῶντος· ἢ Ἀμαρυλλὶς, ἀπὸ τῆς κόρης τῆς ἐρωμένης· ἢ Κωμαστὴς, ἀπ' αὐτοῦ τοῦ πράγματος. ἐπικωμάζει γάρ τις τῇ Ἀμαρυλλίδι, τοῦ ὀνόματος μὴ δηλουμένου. εἰκάσειε δ' ἄν τις Βάττον εἶναι. τοῦτον γὰρ Αἰπόλον ὄντα, δι' ἑτέρου ποιεῖ ὁ Θεόκριτος προσδιαλεγόμενον Κορύδωνι, καὶ τὸν ἔρωτα ὃν εἶχε πρὸς τὴν Ἀμαρυλλίδα, ἐμφαίνοντα. Τινὲς δὲ τὸν Θεόκριτον εἶναι νομίζουσιν· ἐκ τοῦ, Ἦ ῥά γέ τοι σιμὸς καταφαίνομαι; Σιμιχίδην αὐτὸν καλοῦντες. Τὸν Τίτυρον οἱ μὲν κύριον, οἱ δὲ σάτυρον εἶναί φασι. Τὰ δὲ πράγματα εἴη ἂν ἐπὶ Ἰταλίας περὶ Κρότωνα.

# ΑΙΠΟΛΟΣ ἢ ΑΜΑΡΥΛΛΙΣ, ἢ ΚΩΜΑΣΤΗΣ,

## Εἰδύλλιον γ'.

Κωμάσδω ποτὶ τὰν Ἀμαρυλλίδα· ταὶ δέ μοι αἶγες
Βόσκονται κατ' ὄρος, καὶ ὁ Τίτυρος αὐτὰς ἐλαύνει.
Τίτυρ' ἐμὶν τὸ καλὸν πεφιλαμένε, βόσκε τὰς αἶγας,
Καὶ ποτὶ τὰν κράναν ἄγε Τίτυρε· καὶ τὸν ἐνόρχαν
Τὸν Λιβυκὸν Κνάκωνα φυλάσσεο, μή τυ κορύψῃ.
Ὦ χαρίεσσ' Ἀμαρυλλὶ, τί μ' οὐκέτι τοῦτο κατ' ἄντρον
Παρκύπτοισα καλεῖς τὸν ἐρωτύλον; ἦ ῥά με μισεῖς;
Ἦ ῥά γέ τοι σιμὸς καταφαίνομαι ἐγγύθεν ἦμεν,
Νύμφα, καὶ προγένειος; ἀπάγξασθαί με ποιησεῖς.
Ἠνὶ δέ τοι δέκα μᾶλα φέρω· τηνῶθε καθεῖλον,

Ὦ μ' ἐκέλευ καθελεῖν τύ· καὶ αὔριον ἄλλά τοι οἰσῶ.
Θᾶσαι μὰν θυμαλγὲς ἐμὸν ἄχος. αἴθε γενοίμαν
Ἁ βομβεῦσα μέλισσα, καὶ ἐς τεὸν ἄντρον ἱκοίμαν,
Τὸν κισσὸν διαδὺς, καὶ τὰν πτέριν ἇ τὺ πυκάσδῃ.
Νῦν ἔγνων τὸν Ἔρωτα· βαρὺς θεός· ἦ ῥα λεαίνας
Μασδὸν ἐθήλαζε, δρυμῷ τέ μιν ἔτρεφε μάτηρ·
Ὅς με κατασμύχων καὶ ἐς ὀστέον ἄχρις ἰάπτει.
Ὦ τὸ καλὸν ποθορῶσα· τὸ πᾶν, λίθος· ὦ κυανόφρυ
Νύμφα, πρόσπτυξαί με τὸν αἰπόλον, ὡς τὺ φιλάσω·
Ἔστι καὶ ἐν κενεοῖσι φιλάμασιν ἁδέα τέρψις.
Τὸν στέφανον τιλαί με καταυτίκα λεπτὰ ποιησεῖς,
Τόν τοι ἐγὼν Ἀμαρυλλὶ φίλα κισσοῖο φυλάσσω
Ἐμπλέξας καλύκεσσι καὶ εὐόδμοισι σελίνοις.
Ὦ μοι ἐγὼ, τί πάθω; τί ὁ δύσσοος; οὐχ ὑπακούεις;
Τὰν βαίταν ἀποδὺς, εἰς κύματα τῆνα ἁλεῦμαι
Ὧπερ τὼς θύννως σκοπιάζεται Ὄλπις ὁ γριπεύς.
Κἤκα μὴ ποθάνω, τό γε μὰν τεὸν ἁδὺ τέτυκται.
Ἔγνων πρᾶν, ὅκα μευ μεμναμένω εἰ φιλέεις με,
Οὐδὲ τὸ τηλέφιλον ποτεμάξατο τὸ πλατάγημα,
Ἀλλ' αὔτως ἁπαλῷ ποτὶ πάχεϊ ἐξεμαράνθη.
Εἶπε καὶ Ἀγροιὼ τἀλαθέα κοσκινόμαντις,
Ἁ πρὰν ποιολογεῦσα παραιβάτις, οὕνεκ' ἐγὼ μὲν
Τὶν ὅλος ἔγκειμαι. τὺ δέ μευ λόγον οὐδένα ποιῇ.
Ἦ μάν τοι λευκὰν διδυματόκον αἶγα φυλάσσω,
Τάν με καὶ ἁ Μέρμνωνος Ἐριθακὶς ἁ μελανόχρως
Αἰτεῖ· καὶ δωσῶ οἱ, ἐπεὶ τύ μοι ἐνδιαθρύπτῃ.
Ἄλλεται ὀφθαλμός μευ ὁ δεξιός· ἆρά γ' ἰδησῶ
Αὐτάν; ᾀσεῦμαι ποτὶ τὰν πίτυν ὧδ' ἀποκλινθείς·
Καί κέ μ' ἴσως ποτίδῃ· ἐπεὶ οὐκ ἀδαμαντίνα ἐντί.
Ἱππομένης ὅκα δὴ τὰν παρθένον ἤθελε γᾶμαι,
Μᾶλ' ἐνὶ χερσὶν ἑλὼν, δρόμον ἄνυεν· ἁ δ' Ἀταλάντα

Ὡς ἴδεν, ὡς ἐμάνη, ὡς ἐς βαθὺν ἄλλετ' ἔρωτα.
Τὰν ἀγέλαν χὼ μάντις ἀπ' Ὄθρυος ἆγε Μελάμπους
Ἐς Πύλον· ἁ δὲ Βίαντος ἐν ἀγκοίνῃσιν ἐκλίνθη
Μάτηρ ἁ χαρίεσσα περίφρονος Ἀλφεσιβοίας.
Τὰν δὲ καλὰν Κυθέρειαν ἐν ὤρεσι μᾶλα νομεύων
Οὐχ' οὕτως ὡδωνις ἐπὶ πλέον ἄγαγε λύσσας,
Ὡς οὐδὲ φθίμενόν μιν ἄτερ μασδοῖο τίθητι;
Ζαλωτὸς μὲν ἐμὶν ὁ τὸν ἄτροπον ὕπνον ἰαύων
Ἐνδυμίων, ζαλῶ δὲ φίλα γύναι Ἰασίωνα,
Ὃς τόσσων ἐκύρησεν ὅσ' οὐ πευσεῖσθε βέβαλοι.
Ἀλγέω τὰν κεφαλάν· τὶν δ' οὐ μέλει. οὐκέτ' ἀείδω,
Κεισεῦμαι δὲ πεσών, καὶ τοὶ λύκοι ὧδε μ' ἔδοντι·
Ὡς μέλι τοι γλυκὺ τοῦτο κατὰ βρόχθοιο γένοιτο.

## ΥΠΟΘΕΣΙΣ.

Τοῦτο τὸ Εἰδύλλιον βουκολικόν ἐστι. Βάττος μὲν οὖν, αἰπόλος· Κορύδων δὲ, βουκόλος, πρὸς ἀλλήλους διαλέγονται ἀμοιβαίως. ὑποτίθεται δὲ ὁ Θεόκριτος τὸν Κορύδωνα βοῦς νέμοντα βουκόλου τινὸς Αἴγωνος, ὅν φησιν εἰς Ὀλυμπίαν ὑπὸ Μίλωνος παλαιστοῦ ἀχθῆναι, ἰσχυρὸν ὄντα, ὡς ἀγωνίσηται· τὸν δὲ Βάττον ταῦτα πυνθανόμενον, καὶ λέγοντα ὅτι κακοῦ αἱ βόες ἔτυχον βουκόλου, καὶ εἰσὶ λεπταί. Τὰ δὲ πράγματα διάκειται ἐν Κρότωνι τῆς Ἰταλίας.

## ΝΟΜΕΙΣ.

# ΒΑΤΤΟΣ καὶ ΚΟΡΥΔΩΝ.

## Εἰδύλλιον δ'.

ΒΑ. Εἰπέ μοι ὦ Κορύδων, τίνος αἱ βόες; ἦ ῥα Φιλώνδα;
ΚΟ. Οὐκ· ἀλλ' Αἴγωνος· βόσκεν δέ μοι αὐτὰς ἔδωκεν.
ΒΑ. Ἦ πά ψε κρύβδαν τὰ ποθέσπερα πάσας ἀμέλγες;
ΚΟ. Ἀλλ' ὁ γέρων ὑφίητι τὰ μοσχία, κἠμὲ φυλάσσει.
ΒΑ. Αὐτὸς δ' ἐς τίν' ἄφαντος ὁ βωκόλος ᾤχετο χώραν;
ΚΟ. Οὐκ ἄκουσας; ἄγων νιν ἐπ' Ἀλφεὸν ᾤχετο Μίλων.
ΒΑ. Καὶ πόκα τῆνος ἔλαιον ἐν ὀφθαλμοῖσιν ὀπώπει;
ΚΟ. Φαντί νιν Ἡρακλῆϊ βίην καὶ κάρτος ἐρίσδεν.
ΒΑ. Κἤμ' ἔφαθ' ἁ μάτηρ Πολυδεύκεος ἦμεν ἀμείνω.
ΚΟ. Κὤχετ' ἔχων σκαπάναν τε καὶ εἴκατι τουτόθε μᾶλα.
ΒΑ. Πεῖσαι τοι Μίλων καὶ τὼς λύκος αὐτίκα λυσσῆν. 11
ΚΟ. Ταὶ δαμάλαι δ' αὐτὸν μυκώμεναι ὧδε ποθεῦντι.

ΒΑ. Δειλαῖαί γ' αὗται, τὸν βωκόλον ὡς κακὸν εὗρον.
ΚΟ. Ἠ μὰν δειλαῖαί γε, καὶ οὐκέτι λῶντι νέμεσθαι.
ΒΑ. Τήνας μὲν δή τοι τᾶς πόρτιος αὐτὰ λέλειπται
Τὠστέα. μὴ πρώκας σιτίζεται, ὥσπερ ὁ τέττιξ;
ΚΟ. Οὐ δᾶν, ἄλλοκα μέν μιν ἐπ' Αἰσάροιο νομεύω,
Καὶ μαλακῶ χόρτοιο καλὰν κώμυθα δίδωμι·
Ἄλλοκα δὲ σκαίρει τὸ βαθύσκιον ἀμφὶ Λάτυμνον.
ΒΑ. Λεπτὸς μὰν χὠ ταῦρος ὁ πυρρίχος· εἴθε λάχοιεν
Τοὶ τῶ Λαμπριάδα τοὶ δαμόται, ὅκκα θύωντι
Τᾷ Ἥρᾳ, τοιόνδε. κακοχράσμων γὰρ ὁ δᾶμος.
ΚΟ. Καὶ μὰν ἐς στομάλιμνον ἐλαύνεται, ἔς τε τὰ Φύσκω,
Καὶ ποτὶ τὸν Νήαιθον· ὅπα καλὰ πάντα φύοντι,
Αἰγίπυρος, καὶ κνύζα, καὶ εὐώδης μελίτεια·
ΒΑ. Φεῦ φεῦ· βασεῦνται καὶ ταὶ βόες, ὦ τάλαν Αἴγων,
Εἰς αἴδαν, ὅκα καὶ τὺ κακᾶς ἠράσσαο νίκας.
Χὰ σύριγξ εὐρῶτι παλύνεται, ἄν ποτ' ἐπάξω.
ΚΟ. Οὐ τήνα γ', οὐ νύμφας· ἐπεὶ ποτὶ Πῖσαν ἀφέρπων,
Δῶρον ἐμίν νιν ἔλειπεν. ἐγὼ δέ τις εἰμὶ μελικτὰς,
Κἦυ μὲν τὰ Γλαύκας ἀγκρούομαι, εὖ δὲ τὰ Πύρρω.
Αἰνέω τάν τε Κρότωνα· καλὰ πόλις ἁ Ζάκυνθος·
Καὶ τὸ ποταῷον τὸ Λακίνιον, ᾇπερ ὁ πύκτας
Αἴγων ὀγδώκοντα μόνος κατεδαίσατο μάζας·
Τηνεὶ καὶ τὸν ταῦρον ἀπ' ὤρεος ἆγε πιάξας
Τᾶς ὁπλᾶς, κἤδωκ' Ἀμαρυλλίδι· ταὶ δὲ γυναῖκες
Μακρὸν ἀνάϋσαν, χὠ βωκόλος ἐξεγέλασσεν.
ΒΑ. Ὦ χαρίεσσ' Ἀμαρυλλὶ, μόνας σέθεν οὐδὲ θανοίσας
Λασεύμεσθ'. ὅσον αἶγες ἐμὶν φίλαι, ὅσσον ἀπέσβας.
Αἰ αἶ τῶ σκληρῶ μάλα δαίμονος, ὅς μ' ἐλελόγχει.
ΚΟ. Θαρσεῖν χρὴ φίλε Βάττε· τάχ' αὔριον ἔσσετ' ἄμεινον.
Ἐλπίδες ἐν ζωοῖσιν, ἀνέλπιστοι δὲ θανόντες.
Χὠ Ζεὺς ἄλλοκα μὲν πέλει αἴθριος, ἄλλοκα δ' ὕει.

ΒΑ.

ΒΑ. Θαρσέω· βάλλε κάτωθε τὰ μοσχία. τᾶς γὰρ ἐλαίας
Τὸν θαλλὸν τρώγοντι τὰ δύσσοα. σίτθ' ὁ λέπαργος.
ΚΟ. Σίτθ' ἁ Κυμαίθα ποτὶ τὸν λόφον· οὐκ ἐσακούεις;
Ηξῶ ναὶ τὸν Πᾶνα, κακὸν τέλος αὐτίκα δωσῶν,
Εἰ μὴ ἄπει τουτῶθεν. ἴδ' αὖ πάλιν ἅδε ποθέρπει.
Εἴθ' ἦν μοι ῥοικὸν τὸν λαγωβόλον, ὥς τυ πατάξω.
ΒΑ. Θᾶσαί μ' ὦ Κορύδων ποττὶ τῶ Διός. ἁ γὰρ ἄκανθα
Αρμοῖ μ' ὧδ' ἐπάταξ' ὑπὸ τὸ σφυρόν· ὡς δὲ βαθεῖαι
Ταὶ ἀτρακτυλίδες ἐντί· κακῶς ἁ πόρτις ὄλοιτο.
Εἰς ταύταν ἐτύπαν χασμεύμενος. ἦ ῥά γε λεύσσεις;
ΚΟ. Ναὶ ναὶ, τοῖς ὀνύχεσσιν ἔχω γέ νιν. ἅδε καὶ αὐτά.
ΒΑ. Οσσίχον ἐστὶ τὸ τύμμα, καὶ ἁλίκον ἄνδρα δαμάσδει.
ΚΟ. Εἰς ὄρος ὅκχ' ἕρπεις, μὴ ἀνάλιπος ἔρχεο Βάττε·
Εν γὰρ ὄρει ῥάμνοι τε καὶ ἀσπάλαθοι κομόωντι.
ΒΑ. Εἴπ' ἄγε μοι Κορύδων, τὸ γερόντιον ἦ ῥ' ἔτι μύλλει
Τήναν τὰν κυανόφρυν ἐρωτίδα, τᾶς ποτ' ἐκνίσθη;
ΚΟ. Ακμάν γ' ὦ δειλαῖε. πρᾶν γε μὲν αὐτὸς ἐπενθὼν,
Καὶ ποτὶ τὰν μάνδραν κατελάμβανον, ἆμος ἐνάργει.
ΒΑ. Εὖγ' ὤνθρωπε φιλοῖφα· τό τοι γένος ἢ Σατυρίσκοις
Εγγύθεν ἢ Πάνεσσι κακοκνάμοισιν ἐρίσδει.

ΥΠΟ-

## ΥΠΟΘΕΣΙΣ.

Τῦτο τὸ Εἰδύλλιον δραματικώτερόν ἐςι. προσδιαλέγονται δὲ ἀλλήλοις ἐπὶ Ἰταλίας, καὶ περὶ ἀμουσίας ἐρίζυσιν, ὅ τε αἰπόλος Κομάτας, ὃς Εὐμάρα τῦ Συβαρίτα νέμει τὰς αἶγας· καὶ ὁ ποιμὴν Λάκων, ὃς Θυρίυ τῦ Συβαρίτα νέμει τὰ θρέμματα. ἔχει δὲ ὁ μὲν Κομάτας κόρην ἐρωμένην Αλκίππην τὔνομα· ὁ δὲ Λάκων, ἐρώμενον Ευμήδην. καὶ ἔπαθλον τῆς νίκης τίθενται. ὁ μὲν αἰπόλος τράγον, ὁ δὲ ποιμὴν ἀμνόν· Μόρσωνα δὲ τῶν ᾠδῶν κριτὴν αἱρῦνται. τελεσάντων δὲ τὴν ἅμιλλαν, ὁ κριτὴς Μόρσων τῷ αἰπόλῳ τὴν νίκην ἀπονέμει. ἐπιγράφεται μὲν ὖν τῦτο τὸ Εἰδύλλιον, Οδοιπόροι μὲν, διὰ τὸ ἐν ὁδῷ φιλονεικεῖν· Βυκολιασαὶ δὲ, διὰ τὸ βυκολιάζεσθαι, ἤγουν βυκολικῶς ᾄδειν αὐτύς.

# ΟΔΟΙΠΟΡΟΙ ἢ ΒΟΥΚΟΛΙΑΣΤΑΙ, Εἰδύλλιον ε΄.

### ΚΩΜΑΤΑΣ καὶ ΛΑΚΩΝ.

ΚΟ. Αἶγες ἐμαὶ, τῆνον τὸν ποιμένα τὸν Συβαρίταν
Φεύγετε τὸν Λάκωνα· τό μευ νάκος ἐχθὲς ἔκλεψεν.
ΛΑ. Οὐκ ἀπὸ τᾶς κράνας σίττ᾽ ἀμνίδες; ὐκ ἐσορῆτε
Τόν μευ τὰν σύριγγα πρώαν κλέψαντα Κομάταν;
ΚΟ. Τὰν ποίαν σύριγγα; τὺ γάρ πόκα δῶλε Συβάρτα
Εκτάσω σύριγγα; τί δ᾽; ὐκέτι σὺν Κορύδωνι
Αρκεῖ τοι καλάμας αὐλὸν ποππύσδεν ἔχοντι;
ΛΑ. Τάν μοι ἔδωκε Λύκων, ὦ᾽ λεύθερε. τὶν δὲ τὸ ποῖον
Λάκων ἐκκλέψας ποκ᾽ ἔβα νάκος; εἰπὲ Κομάτα·

Οὐδὲ

Οὐδὲ γὰρ Εὐμάρᾳ τῷ δεσπότῃ ἦς τοι ἐνεῦδεν.
ΚΟ. Τὸ Κροκύλος μοι ἔδωκε, τὸ ποικίλον, ἁνίκ' ἔθυσε
Ταῖς νύμφαις τὰν αἶγα. τὺ δ' ὦ κακὲ ϗ τότ' ἐτάκευ
Βασκαίνων, ϗ νῦν με τὰ λοίσθια γυμνὸν ἔθηκας.
ΛΑ. Οὔ, μ' αὐτὸν τὸν Πᾶνα τὸν ἄκτιον, ὔ σέ γε Λάκων
Τὰν βαίταν ἀπέδυσ' ὁ Καλαίθιδος· ἢ κατὰ τήνας
Τᾶς πέτρας, ὤνθρωπε, μανεὶς ἐς Κρᾶθιν ἁλοίμαν.
ΚΟ. Οὐ μὰν ὔτ' αὐτὰς τὰς λιμνάδας ὦ γαθὲ νύμφας,
(Αἴτ' ἐμὶν ἵλαοί τε ϗ εὐμενέες τελέθοιεν)
Οὔ τευ τὰν σύριγγα λαθὼν ἔκλεψε Κομάτας.
ΛΑ. Αἴτοι πιστεύσαιμι, τὰ Δάφνιδος ἄλγε' ἀροίμαν.
Αλλ' ὦν αἴκα λῇς ἔριφον θέμεν (ἐντὶ μὲν ὐδὲν
Ιερὸν) ἀλλά γέ τοι διαείσομαι, ἔστε κ' ἀπείπῃς.
ΚΟ. Υς ποτ' Αθαναίαν ἔριν ἤρισεν· ἠνὶ δὲ κεῖται
Ωριφος· ἀλλ' ἄγε ϗ τὺ τὸν εὔβοτον ἀμνὸν ἔρειδε.
ΛΑ. Καὶ πῶς ὦ κίναδ', εὖ τάδε γ' ἔσσετ') ἐξ ἴσω ἄμμιν;
Τίς τρίχας ἀντ' ἐρίων ἐποκίξατο; τίς δὲ παρεῦσας
Αἰγὸς πρωτοτόκοιο, κακὰν κύνα δήλετ' ἀμέλγειν;
ΚΟ. Οστις νικασεῖν τὸν πλατίον, ὡς τὺ πεποίθεις·
Σφὰξ βομβῶν τέττιγος ἐναντίον. ἀλλὰ γὰρ ὔτοι
Ωριφος ἰσοπαλής· τὺ (ἴδ' ὁ τράγος οὗτος) ἔρισδε.
ΛΑ. Μὴ σπεῦδ'. ὐ γάρ τοι πυρὶ θάλπεαι· ἅδιον ᾀσῇ
Τᾷδ' ὑπὸ τὰν κότινον ϗ τἄλσεα ταῦτα καθίξας.
Ψυχρὸν ὕδωρ τηνεὶ καταλείβεται. ὧδε πεφύκει
Ποία, χὰ στιβὰς ἅδε, ϗ ἀκρίδες ὧδε λαλεῦντι.
ΚΟ. Αλλ' ὔτι σπεύδω. μέγα δ' ἄχθομαι εἴ τύ με τολμῇς
Ομμασι τοῖς ὀρθοῖσι ποτιβλέπεν, ὅν ποκ' ἐόντα
Παῖδ' ἔτ' ἐγὼν ἐδίδασκον. ἴδ' ἁ χάρις ἐς τί ποθέρπει.
Θρέψαι ϗ λυκιδεῖς, θρέψαι κύνας, ὥς τυ φάγωντι.
ΛΑ. Καὶ πόκ' ἐγὼ παρὰ τεῦ τι μαθὼν καλὸν ἢ ϗ ἀκούσας
Μέμναμ', ὦ φθονερὸν τὺ ϗ ἀπρεπὲς ἀνδρίον αὔτως;

ΚΟ. Ανίκ' ἐπύγιζόν τυ, τὺ δ' ἄλγεες. αἱ δὲ χίμαιραι
Αἵδε καθεβληχῶντο, καὶ ὁ τράγος αὐτὰς ἐτρύπη.
ΛΑ. Μὴ βάθιον τήνω πυγίσματος οὐδὲ ταφείης·
Αλλὰ γὰρ ἕρφ' ὧδ' ἕρπε, καὶ ὕστερα βωκολιαξεῖς.
ΚΟ. Οὐχ ἑρψῶ τηνεί. τουτῷ δρύες, ὧδε κύπειρος,
Ωδε καλὸν βομβεῦντι ποτὶ σμάνεσσι μέλισσαι.
Ενθ' ὕδατος ψυχρῶ κρᾶναι δύο. ταὶ δ' ἐπὶ δένδρῳ
Ορνιχες λαλαγεῦντι. καὶ ἁ σκιὰ οὐδὲν ὁμοία
Τᾷ παρὰ τίν· βάλλει δὲ καὶ ἁ πίτυς ὑψόθε κώνους.
ΛΑ. Η μὰν ἀρνακίδας τε καὶ εἴρια τᾷδε πατησεῖς,
Αἴκ' ἔνθῃς, ὕπνω μαλακώτερα· ταὶ δὲ τραγεῖαι
Ταὶ παρὰ τὶν ὄσδοντι κακώτερον ἢ τύ περ ὄσδεις.
Στασῶ δὲ κρητῆρα μέγαν λευκοῖο γάλακτος
Ταῖς νύμφαις. στασῶ δὲ καὶ ἁδέος ἄλλον ἐλαίω.
ΚΟ. Αἰ δέ κε καὶ τὺ μόλῃς, ἁπαλὰν πτέριν ὧδε πατησεῖς,
Καὶ γλάχων' ἀνθεῦσαν. ὑπεσσεῖται δὲ χιμαιρῶν
Δέρματα, τῶν παρὰ τὶν μαλακώτερα τετράκις ἀρνῶν.
Στασῶ δ' ὀκτὼ μὲν γαυλὼς τῷ Πανὶ γάλακτος,
Οκτὼ δὲ σκαφίδας μέλιτος πλέα κηρί' ἐχοίσας.
ΛΑ. Αὐτόθε μοι ποτέρισδε, καὶ αὐτόθι βωκολιάσδευ.
Τὰν σαυτῶ πατέων, ἔχε τὰς δρύας. ἀλλὰ τίς ἄμμε
Τίς κρινεῖ; αἴθ' ἔνθοι ποθ' ὁ βωκόλος ὧδε Λυκώπας.
ΚΟ. Οὐδὲν ἐγὼ τήνω ποτιδεύομαι· ἀλλὰ τὸν ἄνδρα,
Αἰ λῇς, τὸν δρυτόμον βωστρήσομες, ὅς τὰς ἐρείκας
Τήνας τὰς παρὰ τίν ξυλοχίσδεται· ἐντὶ δὲ Μόρσων.
ΛΑ. Βωστρέομες. Κομ. Τύ κάλει νιν. Λάκ. Ιθ' ὦ ξένε, μικ-
Τᾷδ' ἐνθών. ἄμμες γὰρ ἐρίσδομες ὅστις ἀρείων [κὸν ἄκουσον
Βωκολιαστάς ἐστι. τὺ δ' ὦ φίλε μήτ' ἐμὲ Μόρσων,
Εν χάριτι κρίνῃς, μήτ' ὦν τύ γα τοῦτον ὀνάσῃς.
ΚΟ. Ναὶ ποτὶ τᾶν νυμφᾶν, ναὶ Μόρσων, μήτε Κομάτα
Τὸ πλέον ἰθύνῃς, μήτ' ὦν τύ γα τῷδε χαρίξῃ·

Α δέ τοι ἁ ποίμνα τῶ Θουρίω ἐστὶ Συβάρτα·
Εὐμάρα δὲ τὰς αἶγας ὁρῇς φίλε τῶ Συβαρίτα.
ΛΑ. Μὴ τύ τις ἠρώτα, ποττῶ Διὸς, αἴτε Συβάρτα,
Αἴτ' ἐμὸν ἐστὶ κάκιστε τὸ ποίμνιον; ὡς λάλος ἐσσί.
ΚΟ. Βέντισθ' οὗτος, ἐγὼ μὲν ἀλαθέα πάντ' ἀγορεύω,
Κοὐδὲν καυχέομαι· τὺ δ' ἄγαν φιλοκέρτομος ἐσσί.
ΛΑ. Εἶα λέγ', εἴτι λέγεις· καὶ τὸν ξένον ἐς πόλιν αὖθις
Ζῶντ' ἄφες. ὦ παιὰν, ἦ στωμύλος ἦσθα Κομάτα.
ΚΟ. Ταὶ μῶσαί με φιλεῦντι πολὺ πλέον ἢ τὸν ἀοιδὸν
Δάφνιν· ἐγὼ δ' αὐταῖς χιμάρως δύο πρᾶν ποκ' ἔθυσα.
ΛΑ. Καὶ γὰρ ἔμ' ὡπόλλων φιλέει μέγα· καὶ καλὸν αὐτῷ
Κριὸν ἐγὼ βόσκω. τὰ δὲ Κάρνεα καὶ δὴ ἐφέρπει.
ΚΟ. Πλὰν δύο τὰς λοιπὰς διδυματόκος αἶγας ἀμέλγω·
Καί μ' ἁ παῖς ποθ' ὁρεῦσα, Τάλαν λέγει, αὐτὸς ἀμέλγεις;
ΛΑ. Φεῦ φεῦ, Λάκων τοι ταλάρως σχεδὸν εἴκατι πληροῖ
Τυρῶ, καὶ τὸν ἄναβον ἐν ἄνθεσι παῖδα μολύνει.
ΚΟ. Βάλλει καὶ μάλοισι τὸν αἰπόλον ἁ Κλεαρίστα,
Τὰς αἶγας παρελῶντα, καὶ ἁδύ τι ποππυλιάσδει.
ΛΑ. Κἠμὲ γὰρ ὁ Κρατίδας τὸν ποιμένα λεῖος ὑπαντῶν
Εκμαίνει· λιπαρὰ δὲ πὰρ αὐχένα σείετ' ἔθειρα.
ΚΟ. Αλλ' οὐ σύμβλητ' ἐστὶ κυνόσβατος οὐδ' ἀνεμώνα
Πρὸς ῥόδα, τῶν ἄνδηρα πὰρ αἱμασιαῖσι πεφύκει.
ΛΑ. Οὐδὲ γὰρ οὐδ' ἀκύλοις ὀριμαλίδες· αἱ μὲν, ἔχοντι
Λεπτὸν ἀπὸ πρίνοιο λεπύριον· αἱ δὲ, μελιχραί.
ΚΟ. Κἠγὼ μὲν δωσῶ τᾷ παρθένῳ αὐτίκα φάσσαν,
Εκ τᾶς ἀρκεύθω καθελών· τηνεὶ γὰρ ἐφίσδει.
ΛΑ. Αλλ' ἐγὼ ἐς χλαῖναν μαλακὸν πόκον, ὁππόκα πέξω
Τὰν οἶν τὰν πέλλαν, Κρατίδᾳ δωρήσομαι αὐτός.
ΚΟ. Σίττ' ἀπὸ τᾶς κοτίνω ταὶ μηκάδες· ὧδε νέμεσθε,
Ως τὸ κάταντες τοῦτο γεώλοφον, ἅτε μυρῖκαι.
ΛΑ. Οὐκ ἀπὸ τᾶς δρυὸς οὗτος ὁ Κώναρος, ἅ τε Κυναίθα,

Τουτεὶ

Τουτεὶ βοσκησεῖσθε ποτ' ἀντολὰς, ὡς ὁ Φάλαρος;
ΚΟ. Ἐστι δέ μοι γαυλὸς κυπαρίσσινος, ἔστι δὲ κρητὴρ,
Ἔργον Πραξιτέλους· τῷ παιδὶ δὲ ταῦτα φυλάσσω.
ΛΑ. Χἀμῖν ἐστὶ κύων φιλοποίμνιος, ὃς λύκος ἄγχει·
Ὃν τῷ παιδὶ δίδωμι τὰ θηρία πάντα διώκεν.
ΚΟ. Ἀκρίδες αἳ τὸν φραγμὸν ὑπερπαδῆτε τὸν ἁμὸν,
Μή μευ λωβάσησθε τὰς ἀμπέλος· ἐντὶ γὰρ ἅβαι.
ΛΑ. Τοὶ τέττιγες ὁρῆτε τὸν αἰπόλον ὡς ἐρεθίσδω·
Οὕτω κ' ὔμμες θὴν ἐρεθίσδετε τὼς καλαμευτάς.
ΚΟ. Μισέω τὰς δασυκέρκος ἀλώπεκας, αἳ τὰ Μίκωνος
Αἰεὶ φοιτῶσαι τὰ ποθέσπερα ῥαγίζοντι.
ΛΑ. Καὶ γὰρ ἐγὼ μισέω τὼς κανθάρος, οἳ τὰ Φιλώνδα
Σῦκα κατατρώγοντες, ὑπηνέμιοι φορέονται.
ΚΟ. Ἦ οὐ μέμνασ' ὅτ' ἐγών τυ κατήλασα, καὶ τὺ σεσαρὼς
Εὖ πόκα κιγκλίζευ, καὶ τᾶς δρυὸς εἴχεο τήνας;
ΛΑ. Τοῦτο μὲν οὐ μέμναμ'· ὅκα μάν ποκα τῇδε τὺ δήσας
Εὐμάρας ἐκάθηρε, καλῶς μάλα τοῦτό γ' ἴσαμι.
ΚΟ. Ἤδη τις Μόρσων πικραίνεται· οὐχὶ παρῄσθευ;
Σκίλλας ἰὼν γραίας ἀπὸ σάματος αὐτίκα τίλλοις.
ΛΑ. Κἠγὼ μὲν κνίσδω Μόρσων τινά· καὶ τὺ δὲ λεύσσεις.
Ἐνθὼν τὰν κυκλάμινον ὄρυσσέ νυν ἐς τὸν Ἄλεντα.
ΚΟ. Ἱμέρα ἀνθ' ὕδατος ῥείτω γάλα· καὶ τὺ δὲ Κρᾶθι
Οἴνῳ πορφύροις· τὰ δέ τοι σία καρπὸν ἐνείκαι.
ΛΑ. Ῥείτω χἀ Συβαρῖτις ἐμὶν μέλι· καὶ τὸ ποτ' ὄρθρον
Ἁ παῖς ἀνθ' ὕδατος τὰν κάλπιδα κηρία βάψαι.
ΚΟ. Ταὶ μὲν ἐμαὶ κύτισόν τε καὶ αἴγιλον αἶγες ἔδοντι,
Καὶ σχῖνον πατέοντι, καὶ ἐν κομάροισι κέονται.
ΛΑ. Ταῖσι δ' ἐμαῖς ὀΐεσσι πάρεστι μὲν ἁ μελίτεια
Φέρβεσθαι, πολλὸς δὲ καὶ ὡς ῥόδα κισσὸς ἐπανθεῖ.
ΚΟ. Οὐκ ἔραμ' Ἀλκίππας, ὅτι με πρὰν οὐκ ἐφίλασε
Τῶν ὤτων καθελοῖσ', ὅκα οἱ τὰν φάσσαν ἔδωκα.

ΛΑ.

ΛΑ. Αλλ' ἐγὼ Εὐμήδευς ἔραμαι μέγα· καὶ γὰρ ὄκ' αὐτῷ
Τὰν σύριγγ' ὤρεξα, καλόν τί με κάρτ' ἐφίλασεν.
ΚΟ. Οὐ θεμιτὸν Λάκων ποτ' ἀηδόνα κίσσας ἐρίσδεν,
Οὐδ' ἔποπας κύκνοισι· τὺ δ' ὦ τάλαν ἐσσὶ φιλεχθής.
ΜΟΡ. Παύσασθαι κέλομαι τὸν ποιμένα· τὶν δὲ Κομάτα
Δωρεῖται Μόρσων τὰν ἀμνίδα· καὶ τὺ δὲ θύσας
Ταῖς νύμφαις, Μόρσωνι καλὸν κρέας αὐτίκα πέμψον.
ΚΟ. Πεμψῶ ναὶ τὸν Πᾶνα. φριμάσσεο πᾶσα τραγίσκων
Νῦν ἀγέλα. κἠγὼ γὰρ ἴδ' ὡς μέγα τοῦτο καχαξῶ
Καττῶ Λάκωνος τῶ ποιμένος, ὅττι ποκ' ἤδη
Ανυσάμαν τὰν ἀμνόν· ἐς ὠρανὸν ὔμμιν ἀλεῦμαι.
Αἶγες ἐμαὶ θαρσεῖτε κερουχίδες· αὔριον ὔμμε
Πάσας ἐγὼ λουσῶ Συβαρίτιδος ἔνδοθι κράνας.
Οὗτος ὁ λευκίτας ὁ κορυπτίλος, εἴ τιν ὀχεύσεις
Τᾶν αἰγᾶν, φλασῶ τυ, πρὶν ἤ γ' ἐμὲ καλλιερῆσαι
Ταῖς νύμφαισι τὸν ἀμνόν· ὁ δ' αὖ πάλιν· ἀλλὰ γενοίμαν,
Αἰ μή τυ φλάσαιμι, Μελάνθιος ἀντὶ Κομάτα.

ΥΠΟ-

## ΥΠΟΘΕΣΙΣ.

Δαμοίτας καὶ Δάφνις θέρους ὄντος μεσημβρίας εἰς ἓν τὰ θρέμματα συνελαύνουσι· καὶ ἀμοιβαίως τὴν περὶ Κύκλωπος καὶ Γαλατείας νύμφης ὑπόθεσιν ᾄδουσιν. ἄρχεται μὲν οὖν τῆς ᾠδῆς ὁ Δάφνις, ὡς πρὸς τὸν Κύκλωπα τὴν ἀπόδοσιν ποιούμενος· ὁ δὲ Δαμοίτας ἀποκρίνεται ὡς ἐκ προσώπου τοῦ Πολυφήμου δῆθεν. τὰ πράγματα ἐν Σικελίᾳ. προσδιαλέγεται δὲ ὁ ποιητὴς Ἀράτῳ, οὗ καὶ μέμνηται ἐν τοῖς Θαλυσίοις, καὶ ἀλλαχοῦ. Δύναται δὲ οὗτος εἶναι ὁ τῶν Φαινομένων ποιητής.

# ΒΟΥΚΟΛΙΑΣΤΑΙ,

## Εἰδύλλιον ϛʹ.

### ΔΑΙΜΟΙΤΑΣ καὶ ΔΑΦΝΙΣ.

Δαμοίτας καὶ Δάφνις ὁ βωκόλος εἰς ἕνα χῶρον
Τὰν ἀγέλαν ποκ' Ἄρατε συνάγαγον· ἦς δ' ὁ μὲν αὐτῶν
Πυῤῥὸς, ὁ δ' ἡμιγένειος. ἐπὶ κράναν δέ τιν' ἄμφω
Ἑσδόμενοι θέρεος μέσῳ ἄματι τοιάδ' ἄειδον.
Πρῶτος δ' ἄρξατο Δάφνις, ἐπεὶ καὶ πρῶτος ἔρισδεν.
ΔΑΦ. Βάλλει τοι Πολύφαμε τὸ ποίμνιον ἁ Γαλάτεια
Μάλοισιν, δυσέρωτα τὸν αἰπόλον ἄνδρα καλεῦσα·
Καί τύ νιν οὐ ποθορῇσθα τάλαν, τάλαν, ἀλλὰ κάθησαι
Ἁδέα συρίσδων. πάλιν ἅδ' (ἴδε) τὰν κύνα βάλλει
Ἅ τοι τᾶν οἴων ἕπεται σκοπός· ἁ δὲ βαΰσδει
Εἰς ἅλα δερκομένα. τὰ δέ νιν καλὰ κύματα φαίνει
Ἅσυχα καχλάζοντα, ἐπ' αἰγιαλοῖο θέοισαν.

Φράζεο μὴ τᾶς παιδὸς ἐπὶ κνάμαισιν ὀρύσῃ
Ἐξ ἁλὸς ἐρχομένας, κατὰ δὲ χρόα καλὸν ἀμύξῃ.
Ἁ δὲ καὶ αὐτόθι τοι διαθρύπτεται, ὡς ἀπ' ἀκάνθας
Ταὶ καπυραὶ χαῖται, τὸ καλὸν θέρος ἀνίκα φρύττει·
Καὶ φεύγει φιλέοντα, καὶ οὐ φιλέοντα διώκει·
Καὶ τὸν ἀπὸ γραμμᾶς κινεῖ λίθον. ἦ γὰρ ἔρωτι
Πολλάκις, ὦ Πολύφαμε, τὰ μὴ καλὰ καλὰ πέφανται.
Τῷ δ' ἔπι Δαμοίτας ἀνεβάλλετο, καὶ τάδ' ἄειδεν·
ΔΑΜ. Εἶδον ναὶ τὸν Πᾶνα τὸ ποίμνιον ἀνίκ' ἔβαλλε,
Κοὔ μ' ἔλαθ', οὐ τὸν ἐμὸν τὸν ἕνα γλυκύν, ᾧ ποθόρημι
Ἐς τέλος. αὐτὰρ ὁ μάντις ὁ Τήλεμος ἔχθρ' ἀγορεύων,
Ἐχθρὰ φέροι ποτὶ οἶκον, ὅπως τεκέεσσι φυλάξῃ.
Ἀλλὰ καὶ αὐτὸς ἐγὼ κνίσδων πάλιν, οὐ ποθόρημι,
Ἀλλ' ἄλλαν τινὰ φαμὶ γυναῖκ' ἔχεν· ἁ δ' ἀΐοισα,
Ζαλοῖ μ', ὦ Παιάν, καὶ τάκεται· ἐκ δὲ θαλάσσας
Οἰστρεῖ παπταίνοισα ποτ' ἄντρα τε καὶ ποτὶ ποίμνας.
Σῖγα δ' ὑλακτεῖν νιν καὶ τᾷ κυνί· καὶ γὰρ ὅκ' ἤρων
Αὐτᾶς, ἐκνυζῆτο ποτ' ἰσχία ῥύγχος ἔχοισα.
Ταῦτα δ' ἴσως ἐσορῶσα ποιεῦντά με πολλάκι, πεμψεῖ
Ἄγγελον. αὐτὰρ ἐγὼ κλασῶ θύρας, ἔστε κ' ὀμόσσῃ
Αὐτά μοι στορέσειν καλὰ δέμνια τᾶσδ' ἐπὶ νάσω.
Καὶ γάρ θην οὐδ' εἶδος ἔχω κακόν, ὥς με λέγοντι.
Ἦ γὰρ πρὰν ἐς πόντον ἐσέβλεπον (ἦς δὲ γαλάνα)
Καὶ καλὰ μὲν τὰ γένεια, καλὰ δ' ἐμὶν ἁ μία κώρα,
(Ὡς παρ' ἐμὶν κέκριται) κατεφαίνετο· τῶν δέ τ' ὀδόντων
Λευκοτέραν αὐγὰν Παρίας ὑπέφαινε λίθοιο.
Ὡς μὴ βασκανθῶ δέ, τρὶς εἰς ἐμὸν ἔπτυσα κόλπον.
Ταῦτα γὰρ ἁ γραία με Κοτυτταρὶς ἐξεδίδαξεν,
Ἃ πρὰν ἀμῶντεσσι παρ' Ἱπποκόωντι ποταύλει.
Τόσσ' εἰπών, τὸν Δάφνιν ὁ Δαμοίτας ἐφίλασε.
Χὠ μὲν τῷ σύριγγ'. ὁ δὲ τῷ, καλὸν αὐλὸν ἔδωκεν.

Αὔλει Δαμοίτας, σύρισδε δὲ Δάφνις ὁ βώτας·
Ωρχεῦντ᾽ ἐν μαλακᾷ ταὶ πόρτιες αὐτίκα ποίᾳ.
Νίκη μὰν οὐδ᾽ ἄλλος, ἀνάσσατοι δ᾽ ἐγένοντο.

ΥΠΟ-

## ΥΠΟΘΕΣΙΣ.

Ἐπιδημήσας ὁ Θεόκριτος ἐν Κῷ, ὅτε πρὸς Πτολεμαῖον εἰς Ἀλεξάνδρειαν ἀπῄει, φίλος καλέσῃ Φρασιδάμῳ καὶ Ἀντιγένει, Λυκωπέως υἱοῖς· καὶ κληθεὶς ὑπ᾽ αὐτῶν εἰς ἀγρὸν ἐπὶ θαλύσια Δήμητρος, ἄπεισι μετὰ Εὐκρίτου καὶ Ἀμύντου. ἐντυγχάνει δὲ καθ᾽ ὁδὸν Λυκίδᾳ τῷ Κυδωνιάτῃ ἐκ Κρήτης, καὶ ἀλλήλοις ὁμιλοῦντες διεξέρχονται τοὺς ἑαυτῶν ἔρωτας. ἔστι μὲν οὖν τοῦτο τὸ Εἰδύλλιον ὅλως διηγηματικόν.

# ΘΑΛΥΣΙΑ, ἢ ΕΑΡΙΝΗ

## ΟΔΟΙΠΟΡΙΑ,

## Εἰδύλλιον ζ'.

Ἦς χρόνος ἁνίκ᾽ ἐγώ τε καὶ Εὔκριτος ἐς τὸν Ἄλεντα
Εἵρπομες ἐκ πόλιος· σὺν καὶ τρίτος ἄμμιν Ἀμύντας·
Τᾷ Δηοῖ γὰρ ἔτευχε θαλύσια ὁ Φρασίδαμος
Κ᾽ Ἀντιγένης, δύο τέκνα Λυκωπέος· εἴτι περ ἐσθλὸν
Χαῶν τῶν ἔτ᾽ ἄνωθεν, ἀπὸ Κλυτίας τε καὶ αὐτῶ
Χάλκωνος, Βούρειαν ὃς ἐκ ποδὸς ἄνυε κράναν,
Εὖ γ᾽ ἐνερεισάμενος πέτρᾳ γόνυ· ταὶ δὲ παρ᾽ αὐτὰν
Αἴγειροι πτελέαι τε ἐΰσκιον ἄλσος ἔφαινον,
Χλωροῖσιν πετάλοισι κατηρεφέες κομόωσαι.
Κοὔπω τὰν μεσάταν ὁδὸν ἄνυμες, οὐδὲ τὸ σᾶμα
Ἁμῖν τῶ Βρασίλα κατεφαίνετο· καί τιν᾽ ὁδίταν
Ἐσθλὸν σὺν Μοίσαισι Κυδωνικὸν εὕρομες ἄνδρα,
Οὔνομα μὲν Λυκίδαν, ἧς δ᾽ αἰπόλος· οὐδέ κέ τίς μιν
Ἠγνοίησεν ἰδὼν, ἐπεὶ αἰπόλῳ ἔξοχ᾽ ἐῴκει.

Εκ μὲν γὰρ λασίοιο δασύτριχος εἶχε τράγοιο
Κνακὸν δέρμ' ὤμοισι, νέας ταμίσοιο ποτόσδον·
Αμφὶ δέ οἱ στήθεσσι γέρων ἐσφίγγετο πέπλος
Ζωστῆρι πλακερῷ· ῥοικὰν δ' ἔχεν ἀγριλαίω
Δεξιτερᾷ κορύναν· καί μ' ἀτρέμας εἶπε σεσαρὼς
Ομματι μειδιόωντι, (γέλως δέ οἱ εἴχετο χείλευς)
Σιμιχίδα, πᾷ δὴ τὺ μεσαμέριον πόδας ἕλκεις;
Ανίκα δὴ καὶ σαῦρος ἐφ' αἱμασιαῖσι καθεύδει,
Οὐδ' ἐπιτυμβίδιοι κορυδαλλίδες ἠλαίνοντι.
Η μετὰ δαῖτα κλητὸς ἐπείγεαι; ἤ τινος ἀστῶν
Λανὸν ἐπιθρώσκεις; ὥς τευ ποσὶ νεισομένοιο
Πᾶσα λίθος πταίοισα ποτ' ἀρβυλίδεσσιν ἀείδει.
Τὸν δ' ἐγὼ ἀμείφθην· Λυκίδα φίλε, φαντί τυ πάντες
Εμμεν συρικτὰν μέγ' ὑπείροχον ἔν τε νομεῦσιν,
Εν τ' ἀμητήρεσσι· τὸ δὴ μάλα θυμὸν ἰαίνει
Αμέτερον· καί τοι, κατ' ἐμὸν νόον, ἰσοφαρίσδεν
Ελπομαι· ἁ δ' ὁδὸς ἅδε Θαλυσιάς· ἦ γὰρ ἑταῖροι
Ανέρες εὐπέπλῳ Δαμάτερι δαῖτα τελεῦντι,
Ολβω ἀπαρχόμενοι· μάλα γάρ σφισι πίονι μέτρῳ
Α δαίμων εὔκριθον ἀνεπλήρωσεν ἀλωάν.
Αλλ' ἄγε δή, (ξυνὰ γὰρ ὁδὸς, ξυνὰ δὲ καὶ ἀώς)
Βωκολιασδώμεσθα· τάχ' ὤτερος ἄλλον ὀνασεῖ.
Καὶ γὰρ ἐγὼ μοισᾶν καπυρὸν στόμα· κἠμὲ λέγοντι
Πάντες ἀοιδὸν ἄριστον· ἐγὼ δέ τις οὐ ταχυπειθής·
Οὐ Δᾶν· οὐ γάρ πω κατ' ἐμὸν νόον, οὔτε τὸν ἐσθλὸν
Σικελίδαν νίκημι τὸν ἐκ Σάμω, οὔτε Φιλητᾶν,
Αείδων· βάτραχος δὲ ποτ' ἀκρίδας ὥς τις ἐρίσδω.
Ως ἐφάμαν ἐπίταδες. ὁ δ' αἰπόλος, ἁδὺ γελάξας,
Τάν τοι, ἔφα, κορύναν δωρήσομαι, οὕνεκεν ἐσσὶ
Πᾶν ἐπ' ἀλαθείᾳ πεπλασμένον ἐκ Διὸς ἔρνος.
Ως μοι καὶ τέκτων μέγ' ἀπέχθεται, ὅστις ἐρευνῇ

Ισον ὄρευς κορυφᾷ τελέσαι δόμον Ωρομέδοντος,
Καὶ μοισᾶν ὄρνιχες, ὅσοι ποτὶ Χῖον ἀοιδὸν
Αντία κοκκύζοντες, ἐτώσια μοχθίζοντι.
Αλλ' ἄγε, βωκολικᾶς ταχέως ἀρχώμεθ' ἀοιδᾶς,
Σιμιχίδα· κἠγὼ μὲν, ὅρη φίλος, εἴ τοι ἀρέσκει
Τοῦθ' ὅτι πρὰν ἐν ὄρει τὸ μελύδριον ἐξεπόνασα·
Εσσεῖται Αγεάνακτι καλὸς πλόος ἐς Μιτυλάναν,
Χὤταν ἐφ' ἑσπερίοις ἐρίφοις νότος ὑγρὰ διώκῃ
Κύματα, κ' Ωρίων ὅτ' ἐπ' Ωκεανῷ πόδας ἴσχῃ,
Αἴκεν τὸν Λυκίδαν ὀπτεύμενον ἐξ Αφροδίτας
Ρύσηται· θερμὸς γὰρ ἔρως αὐτῶ με καταίθει.
Χ' ἁλκυόνες στορεσεῦντι τὰ κύματα, τάν τε θάλασσαν,
Τόν τε νότον, τόν τ' εὖρον, ὃς ἔσχατα φυκία κινεῖ·
Αλκυόνες, γλαυκαῖς Νηρηΐσι ταί τε μάλιστα
Ορνίχων ἐφίλαθεν, ὅσαις τέ περ ἐξ ἁλὸς ἄγρα.
Αγεάνακτι πλόον διζημένῳ ἐς Μιτυλάναν
Ωρια πάντα γένοιτο, καὶ εὔπλοον ὅρμον ἵκοιτο.
Κἠγὼ τῆνο κατ' ἆμαρ, ἀνήθινον ἢ ῥοδόεντα,
Η καὶ λευκοΐων στέφανον περὶ κρατὶ φυλάσσων,
Τὸν Πτελεατικὸν οἶνον ἀπὸ κρητῆρος ἀφυξῶ,
Πὰρ πυρὶ κεκλιμένος. κύαμον δέ τις ἐν πυρὶ φρυξεῖ,
Χ' ἁ στιβὰς ἐσσεῖται πεπυκασμένα ἔστ' ἐπὶ πᾶχυν
Κνύζᾳ τ' ἀσφοδέλῳ τε πολυγνάμπτῳ τε σελίνῳ.
Καὶ πίομαι μαλακῶς, μεμνημένος Αγεάνακτος,
Αὐταῖσιν κυλίκεσσι καὶ ἐς τρύγα χεῖλος ἐρείδων.
Αὐλησεῦντι δέ μοι δύο ποιμένες· εἷς μὲν, Αχαρνεύς·
Εἷς δὲ, Λυκωπίτας· ὁ δὲ Τίτυρος ἐγγύθεν ᾀσεῖ,
Ως πόκα τᾶς Ξενέας ἠράσσατο Δάφνις ὁ βώτας,
Χὠς ὄρος ἀμφεπολεῖτο, καὶ ὡς δρύες αὐτὸν ἐθρήνευν,
Ιμέρα αἵτε φύοντι παρ' ὄχθαισιν ποταμοῖο·
Εὖτε χιὼν ὥς τις κατετάκετο μακρὸν ὑφ' Αἷμον,

Η Αθω, ἢ Ροδόπαν, ἢ Καύκασον ἐσχατόεντα.
Ασεῖ δ' ὥς ποκ' ἔδεκτο τὸν αἰπόλον εὐρέα λάρναξ
Ζωὸν ἐόντα, κακῇσιν ἀτασθαλίῃσιν ἄνακτος·
Ως τέ νιν αἱ σιμαὶ λειμωνόθε φέρβον ἰοῖσαι
Κέδρον ἐς ἁδεῖαν μαλακοῖς ἄνθεσι μέλισσαι·
Οὕνεκά οἱ γλυκὺ μοῖσα κατὰ στόματος χέε νέκταρ.
Ω μακαριστὲ Κομάτα, τὺ θὴν τάδε τερπνὰ πεπόνθεις,
Καὶ τὺ κατεκλάσθης ἐς λάρνακα, καὶ τὺ μελισσᾶν
Κηρία φερβόμενος, ἔτος ὥριον ἐξετέλεσσας.
Αἴθ' ἐπ' ἐμεῦ ζωοῖς ἐναρίθμιος ὤφελες ἦμες,
Ως τοι ἐγὼν ἐνόμευον ἀν' ὤρεα τὰς καλὰς αἶγας,
Φωνᾶς εἰσαΐων· τὺ δ' ὑπὸ δρυσὶν ἢ ὑπὸ πεύκαις
Αδὺ μελισδόμενος κατεκέκλισο θεῖε Κομάτα.
Χὼ μὲν τόσσ' εἰπὼν, ἀπεπαύσατο· τὸν δὲ μετ' αὖθις
Κἠγὼν τοῖ' ἐφάμαν, Λυκίδα φίλε, πολλὰ μὲν ἄλλα
Νύμφαι κἠμὲ δίδαξαν ἀν' ὤρεα βυκολέοντα
Εσθλὰ, τά πυ καὶ Ζανὸς ἐπὶ θρόνον ἄγαγε φάμα·
Αλλὰ τό γ' ἐκ πάντων μέγ' ὑπείροχον, ᾧ τὺ γεραίρεν
Αρξεῦμ'. ἀλλ' ὑπάκουσον, ἐπεὶ φίλος ἔπλεο μοίσαις·
Σιμιχίδᾳ μὲν Ερωτες ἐπέπταρον· ἦ γὰρ ὁ δειλὸς
Τόσσον ἐρῇ Μυρτῦς ὅσον εἴαρος αἶγες ἔρανται.
Ωρατος δ' ὁ τὰ πάντα φιλαίτατος ἀνέρι τήνῳ,
Παιδὸς ὑπὸ σπλάγχνοισιν ἔχει πόθον. οἶδεν Αριστις,
Εσθλὸς ἀνὴρ μέγ' Αριστις, ὃν οὐδέ κεν αὐτὸς ἀείδεν
Φοῖβος σὺν φόρμιγγι παρὰ τριπόδεσσι μεγαίροι,
Ως ἐκ παιδὸς Αρατος ὑπ' ὀστέον αἴθετ' ἔρωτι.
Τόν μοι Πὰν, Ομόλας ἐρατὸν πέδον ὅστε λέλογχας,
Ακλητον τήνοιο φίλας ἐς χεῖρας ἐρείσαις,
Εἴτ' ἔστ' ἆρ ὁ Φιλῖνος ὁ μαλθακὸς, εἴτέ τις ἄλλος.
Κἢν μὲν ταῦθ' ἔρδοις ὦ Πὰν φίλε, μή τύ τι παῖδες
Αρκαδικοὶ σκίλλαισιν ὑπὸ πλευράς τε καὶ ὤμυς

Τανίκα μασίσδοιεν ὅτε κρέα τυτθὰ παρείη·
Εἰ δ' ἄλλως νεύσαις, κατὰ μὲν χρόα πάντ' ὀνύχεσσι
Δακνόμενος κνάσαιο, καὶ ἐν κνίδαισι καθεύδοις.
Εἴης δ' Ηδωνῶν μὲν ἐν ὤρεσι χείματι μέσσῳ,
Εβρον παρ' ποταμὸν τετραμμένος, ἐγγύθεν ἄρκτω.
Εν δὲ θέρει πυμάτοισι παρ' Αἰθιόπεσσι νομεύοις,
Πέτρᾳ ὑπὸ Βλεμύων, ὅθεν οὐκέτι Νεῖλος ὁρατός.
Υμμες δ' Υετίδος καὶ Βυβλίδος ἁδὺ λιπόντες
Νᾶμα, καὶ οἰκεῦντες ξανθᾶς ἕδος αἰπὺ Διώνας.
Ω μάλοισιν Ερωτες ἐρευθομένοισιν ὁμοῖοι,
Βάλλετέ μοι τόξοισι τὸν ἱμερόεντα Φιλῖνον,
Βάλλετ'· ἐπεὶ τὸν ξεῖνον ὁ δύσμορος οὐκ ἐλεῖ με·
Καὶ δὴ μὰν ἀπίοιο πεπαίτερος· αἱ δὲ γυναῖκες
Αἶ αἶ, φαντὶ, Φιλῖνε, τό τοι καλὸν ἄνθος ἀποῤῥεῖ.
Μηκέτι τοι φρουρῶμες ἐπὶ προθύροισιν Αρατε,
Μηδὲ πόδας τρίβωμες· ὁ δ' ὄρθριος ἄλλον ἀλέκτωρ
Κοκκύσδων νάρκαισιν ἀνιηρῇσι διδοίη·
Εἷς δ' ὑπὸ τᾶσδε φέριστε Μόλων ἄγχοιτο παλαίστρας·
Αμμιν δ' ἀσυχία τε μέλοι, γραία τε παρείη,
Ατις ἐπιφθύσδοισα, τὰ μὴ καλὰ νόσφιν ἐρύκοι.
Τόσσ' ἔφαμαν· ὁ δέ μοι τὸ λαγωβόλον, ἁδὺ γελάξας,
Ως πάρος, ἐκ μοισᾶν ξεινήϊον ὤπασεν ἦμεν.
Χὼ μὲν ἀποκλίνας ἐπ' ἀριστερὰ, τὰν ἐπὶ Πύξας
Εἷρφ' ὁδόν· αὐτὰρ ἐγών τε καὶ Εὔκριτος ἐς Φρασιδάμω
Στραφθέντες, χὼ καλὸς Αμύντιχος, ἔντε βαθείαις
Αδείας σχίνοιο χαμευνίσιν ἐκλίνθημες,
Εν τε νεοτμάτοισι γεγαθότες οἰναρέοισι.
Πολλαὶ δ' ἄμμιν ὕπερθε κατὰ κρατὸς δονέοντο
Αἴγειροι πτελέαι τε. τὸ δ' ἐγγύθεν ἱερὸν ὕδωρ
Νυμφᾶν ἐξ ἄντροιο κατειβόμενον κελάρυσδεν.
Τοὶ δὲ ποτὶ σκιεραῖς ὀροδαμνίσιν αἰθαλίωνες

Τέτ-

Τέττιγες λαλαγεῦντες ἔχον πόνον· ἁ δ' ὀλολυγὼν
Τηλόθεν ἐν πυκινῇσι βάτων τρύζεσκεν ἀκάνθαις.
Ἄειδον κόρυδοι καὶ ἀκανθίδες, ἔστενε τρυγών·
Πωτῶντο ξουθαὶ περὶ πίδακας ἀμφὶ μέλισσαι.
Πάντ' ὦσδεν θέρεος μάλα πίονος, ὦσδε δ' ὀπώρης.
Ὄχναι μὲν πὰρ ποσσὶ, παρὰ πλευρῇσι δὲ μᾶλα
Δαψιλέως ἄμμιν ἐκυλίνδετο· τοὶ δ' ἐκέχυντο
Ὄρπακες βραβύλοισι καταβρίθοντες ἔρασδε·
Τετράενες δὲ πίθων ἀπολύετο κρατὸς ἄλειφαρ.
Νύμφαι Κασταλίδες Παρνάσιον αἶπος ἔχοισαι,
Ἆρά γέ πα τοιόνδε Φόλω κατὰ λάϊνον ἄντρον
Κρητῆρ' Ἡρακλῆϊ γέρων ἐστάσατο Χείρων;
Ἆρά γέ πα τῆνον τὸν ποιμένα τὸν ποτ' Ἀνάπῳ
Τὸν κρατερὸν Πολύφαμον, ὃς ὤρεσι νᾶας ἔβαλλε,
Τοῖον νέκταρ ἔπεισε κατ' αὔλια ποσσὶ χορεῦσαι,
Οἷον δὴ τόκα πῶμα διεκρανάσατε Νύμφαι,
Βωμῷ πὰρ Δάματρος ἀλωάδος; ἇς ἐπὶ σωρῷ
Αὖθις ἐγὼ πάξαιμι μέγα πτύον. ἁ δὲ γελάσαι,
Δράγματα καὶ μάκωνας ἐν ἀμφοτέρῃσιν ἔχοισα.

ΥΠΟ-

## ΥΠΟΘΕΣΙΣ.

Τὰ μὲν πράγματα, ἐπὶ Σικελίας· ὁ δὲ λόγος, ἐκ τοῦ ποιητικοῦ προσώπου. εἰσὶ δ' ἐρίζοντες ἀλλήλοις Μενάλκας ποιμὴν καὶ Δάφνις βουκόλος, εἰληφότες κριτὴν αἰπόλον, οὗ τὸ ὄνομα (ἐσιώπη). ἔπαθλον δὲ τιθεῖσι τὰς ἰδίας σύριγγας. τελεσάντων δὲ τὴν ἅμιλλαν, ὁ αἰπόλος τῷ Δάφνιδι τὴν νίκην ἀπονέμει. ἔστι μὲν οὖν τοῦτο τὸ εἰδύλλιον μικτὸν ἔκ τε τοῦ διηγηματικοῦ καὶ τοῦ μιμητικοῦ.

# ΒΟΥΚΟΛΙΑΣΤΑΙ,

## Εἰδύλλιον η'.

### ΔΑΦΝΙΣ, ΜΕΝΑΛΚΑΣ, καὶ ΑΙΠΟΛΟΣ.

Δάφνιδι τῷ χαρίεντι ζυνήντετο βουκολέοντι,
Μᾶλα νέμων (ὡς φαντὶ) κατ' ὤρεα μακρὰ Μενάλκας.
Ἄμφω τώγ' ἤτην πυῤῥοτρίχω, ἄμφω ἀνάβω,
Ἄμφω συρίσδεν δεδαημένω, ἄμφω ἀείδεν.
Πρᾶτος δ' ὦν ποτὶ Δάφνιν ἰδὼν ἀγόρευε Μενάλκας.
ΜΕ. Μυκητᾶν ἐπίουρε βοῶν Δάφνι, λῇς μοι ἀεῖσαι;
Φαμὶ τὺ νικασεῖν ὅσσον θέλω αὐτὸς ἀείδων.
Τὸν δ' ἄρα χὠ Δάφνις τοιῷδ' ἀπαμείβετο μύθῳ·
ΔΑ. Ποιμὰν εἰροπόκων οἴων συρικτὰ Μενάλκα,
Οὔποτε νικασεῖς μ', οὐδ' εἴ τι πάθοις τὺ γ' ἀείδων.
ΜΕ. Χρῄσδεις δ' ὦν ἐσιδεῖν; χρῄσδεις καταθεῖναι ἄεθλον;
Χρῄσδω τοῦτ' ἐσιδεῖν, χρῄσδω καταθεῖναι ἄεθλον.
ΜΕ. Ἀλλὰ τί θησεύμεσθ' ὅ κεν ἁμῖν ἄρκιον εἴη;
ΔΑ. Μόσχον ἐγὼ θησῶ, τὺ δὲ θές γ' ἰσομάτορα ἀμνόν.

ΜΕ. Οὐ θησῶ πόκα γ' ἀμνόν· ἐπεὶ χαλεπός θ' ὁ πατήρ μευ,
Χἁ μάτηρ· τὰ δὲ μᾶλα ποθέσπερα πάντ' ἀριθμεῦντι.
ΔΑ. Αλλὰ τί μὰν θησεῖς; τί δὲ τὸ πλέον ἕξει ὁ νικῶν;
ΜΕ. Σύριγγ' ἃν ἐποίησα καλὰν ἐγὼ ἐννεάφωνον,
Λευκὸν καρὸν ἔχοισαν, ἴσον κάτω, ἶσον ἄνωθεν·
Ταύτην κατθείην· τὰ δὲ τῶ πατρὸς οὐ καταθησῶ.
ΔΑ. Η μάν τοι κἠγὼ σύριγγ' ἔχω ἐννεάφωνον,
Λευκὸν καρὸν ἔχοισαν, ἴσον κάτω, ἶσον ἄνωθεν.
Πρώαν νιν συνέπαξ', ἔτι καὶ τὸν δάκτυλον ἀλγῶ
Τοῦτον, ἐπεὶ κάλαμός με διασχισθεὶς διέτμαξεν.
Αλλὰ τίς ἄμμε κρινεῖ; τίς ἐπάκοος ἔσσεται ἁμέων;
ΜΕ. Τῆνόν πως ἐνταῦθα τὸν αἰπόλον ἢν καλέσωμες
Ω ποτὶ ταῖς ἐρίφοις ὁ κύων ὁ φάλαρος ὑλακτεῖ.
Χοὶ μὲν παῖδες ἄϋσαν, ὁ δ' αἰπόλος ἦνθ' ἐπακοῦσαι.
Χοὶ μὲν παῖδες ἄειδον, ὁ δ' αἰπόλος ἤθελε κρῖναι.
Πρᾶτος δ' ὦν ἄειδε λαχὼν ἰΰκτὰ Μενάλκας·
Εἶτα δ' ἀμοιβαίην ὑπελάμβανε Δάφνις ἀοιδὰν
Βωκολικάν· οὕτω δὲ Μενάλκας ἄρξατο πρᾶτος·
ΜΕ. Αγκεα καὶ ποταμοί, θεῖον γένος, αἴ τι Μενάλκας
Πῆ ποχ' ὁ συρικτὰς προσφιλὲς ᾆσε μέλος,
Βόσκοιτ' ἐκ ψυχᾶς τὰς ἀμνίδας· ἢν δέ ποκ' ἔνθῃ
Δάφνις ἔχων δαμάλας, μηδὲν ἔλασσον ἔχοι.
ΔΑ. Κρᾶναι καὶ βοτάναι, γλυκερὸν φυτόν, αἴπερ ὁμοῖον
Μουσίσδοι Δάφνις ταῖσιν ἀηδονίσι,
Τοῦτο τὸ βουκόλιον πιαίνετε· κἤν τι Μενάλκας
Τῇδ' ἀγάγοι, χαίρων ἄφθονα πάντα νέμοι.
ΜΕ. Παντᾷ ἔαρ, παντᾷ δὲ νομοί, παντᾷ δὲ γάλακτος
Οὔθατα πλήθουσιν, καὶ τὰ νέα τρέφεται,
Ενθ' ἁ καλὰ παῖς ἐπινίσσεται· αἰ δ' ἂν ἀφέρπῃ,
Χὠ ποιμὰν ξηρὸς τηνόθι, χαἰ βοτάναι.

ΔΑ. Ενθ' ὄϊς, ἔνθ' αἶγες διδυματόκοι, ἔνθα μέλισσαι
Σμάνεα πληροῦσιν, καὶ δρύες ὑψίτεραι·
Ενθ' ὁ καλὸς Μίλων βαίνει ποσίν· αἰ δ' ἂν ἀφέρπῃ,
Χὠ τὰς βῶς βόσκων, χαὶ βόες αὐότεραι.
ΜΕ. Ω τράγε, τᾶν λευκᾶν αἰγᾶν ἄνερ, ὦ βάθος ὕλας
Μυρίον, ὦ σιμαὶ δεῦτ' ἐφ' ὕδωρ ἔριφοι·
Εν τήνῳ γὰρ τῆνος. ἴθ' ὦ κόλε, καὶ λέγε Μίλῳ,
Ως Πρωτεὺς φώκας, καὶ θεὸς ὤν, ἔνεμε.
ΔΑ. Μή μοι γᾶν Πέλοπος, μή μοι χρύσεια τάλαντα
Εἴη ἔχειν, μηδὲ πρόσθε θέειν ἀνέμων·
Αλλ' ὑπὸ τᾷ πέτρᾳ τᾷδ' ᾄσομαι ἀγκὰς ἔχων τὺ,
Σύννομα μᾶλ' ἐσορῶν τὰν Σικελὰν ἐς ἅλα.
ΜΕ. Δένδρεσι μὲν χειμὼν φοβερὸν κακὸν, ὕδασι δ' αὐχμὸς,
Ορνισιν δ' ὕσπλαγξ· ἀγροτέροις δὲ, λίνα·
Ανδρὶ δὲ, παρθενικᾶς ἁπαλᾶς πόθος. ὦ πάτερ, ὦ Ζεῦ,
Οὐ μόνος ἠράσθην· καὶ τὺ γυναικοφίλας.
Ταῦτα μὲν ὦν δι' ἀμοιβαίων οἱ παῖδες ἄεισαν·
Τὰν πυμάταν δ' ᾠδὰν οὕτως ἐξᾶρχε Μενάλκας.
ΜΕ. Φείδευ τῶν ἐρίφων, φείδευ λύκε τᾶν τοκάδων μευ,
Μηδ' ἀδίκει μ', ὅτι μικκὸς ἐὼν πολλαῖσιν ὁμαρτῶ.
Ω Λάμπουρε κύων, οὕτω βαθὺς ὕπνος ἔχει τύ;
Οὐ χρὴ κοιμᾶσθαι βαθέως σὺν παιδὶ νέμοντα.
Ταὶ δ' ὄϊες, μηδ' ὕμμες ὀκνεῖθ' ἁπαλᾶς κορέσασθαι
Ποίας· οὔτι καμεῖσθ' ὄκκα πάλιν ἅδε φύηται.
Σίττα νέμεσθε, νέμεσθε· τὰ δ' οὔθατα πλήσατε πᾶσαι,
Ως τὸ μὲν ὥρνες ἔχωντι, τὸ δ' ἐς ταλάρως ἀπόθωμαι.
Δεύτερος αὖ Δάφνις λιγυρῶς ἀνεβάλλετ' ἀείδεν·
ΔΑ. Κἀμ' ἐκ τῶ ἄντρω σύνοφρυς κόρα ἐχθὲς ἰδοῖσα
Τὰς δαμάλας παρελῶντα, καλὸν, καλὸν ἦμες ἔφασκεν.
Οὐ μὰν οὐδὲ λόγον ἐκρίθην ἄπο τὸν πικρὸν αὐτᾷ,
Αλλὰ κάτω βλέψας, τὰν ἁμετέραν ὁδὸν εἷρπον.

Αδεῖ' ἁ φωνὰ τᾶς ϖόρτιος, ἁδὺ τὸ πνεῦμα·
Αδὺ δὲ χὠ μόσχος γαρύεται, ἁδὺ δὲ χἀ βῶς,
Αδὺ δὲ τῶ θέρεος ϖαρ' ὕδωρ ῥέον αἰθριοκοιτεῖν·
Τᾷ δρυῒ ταὶ βάλανοι κόσμος, τᾷ μαλίδι μᾶλα,
Τᾷ βοῒ δ' ἁ μόσχος, τῷ βωκόλῳ αἱ βόες αὐταί.
Ως οἱ παῖδες ἄεισαν· ὁ δ' αἰπόλος ὧδ' ἀγόρευεν·
ΑΙ. Αδύ τι τὸ στόμα τοί, καὶ ἐφίμερος ὦ Δάφνι φωνά.
Κρέσσον μελπομένω τεῦ ἀκουέμεν ἢ μέλι λείχειν.
Λάσδεο τὰς σύριγγας· ἐνίκησας γὰρ ἀείδων.
Αἰ δέ τι λῇς με καὶ αὐτὸν ἅμ' αἰπολέοντα διδάξαι,
Τήναν τὰν μιτύλαν δωσῶ τὰ δίδακτρά τοι αἶγα,
Ατις ὑπὲρ κεφαλᾶς αἰεὶ τὸν ἀμολγέα ϖληροῖ.
Ως μὲν ὁ ϖαῖς ἐχάρη καὶ ἀνήλατο καὶ ϖλατάγησε
Νικήσας, οὕτως ἐπὶ ματέρα νεβρὸς ἅλοιτο·
Ως δὲ κατεσμύχθη καὶ ἀνετράπετο φρένα λύπᾳ
Ωτερος, οὕτω καὶ νύμφα γαμεθεῖσ' ἀκάχοιτο.
Κἀκ τούτω Δάφνις ϖαρὰ ποιμέσι πρᾶτος ἔγεντο,
Καὶ νύμφαν, ἄκρηβος ἐὼν ἔτι, Ναΐδα γᾶμεν.

ΥΠΟ-

### ΥΠΟΘΕΣΙΣ.

Τὰ μὲν πράγματα ἐπὶ Σικελίας κεῖνται. ἐκκαλοῦνται δὲ ὑπὸ συνομέως Δάφνις ϗ Μενάλκας, ὅπως ἀλλήλοις ἀντᾴσωσιν. οἱ μὲν οὖν ἀμοιβαίως ᾄδουσιν· γέρας δ' ἀπολαμβάνουσιν ἀμφότεροι. ὁ μὲν Δάφνις, κορύναν· ὁ δὲ Μενάλκας, στρόμβου ὄστρακον.

# ΝΟΜΕΥΣ, ἢ ΒΟΥΚΟΛΟΙ,

## Εἰδύλλιον θ'.

### ΔΑΦΝΙΣ ϗ ΜΕΝΑΛΚΑΣ.

Βωκολιάσδεο Δάφνι· τὺ δ' ᾠδᾶς ἄρχεο πρᾶτος·
Ωδᾶς ἄρχεο πρᾶτος, ἐφεψάσθω δὲ Μενάλκας,
Μόσχως βωσὶν ὑφέντες, ὑπὸ στείραισι δὲ ταύρως·
Χ' οἱ μὲν ἁμᾶ βόσκοιντο, ϗ ἐν φύλλοισι πλανῶντο,
Μηδὲν ἀτιμαγελεῦντες. ἐμὶν δὲ τὺ βωκολιάσδευ
Ἔμποθεν· ἄλλωθεν δὲ ποτικρίνοιτο Μενάλκας.
ΔΑ. Αδὺ μὲν ἁ μόσχος γαρύεται, ἁδὺ δὲ χἀ βῶς,
Αδὺ δὲ χἀ σύριγξ, χὡ βωκόλος· ἁδὺ δὲ κἠγών.
Εντὶ δέ μοι παρ' ὕδωρ ψυχρὸν στιβάς· ἐν δὲ νένασται
Λευκᾶν ἐκ δαμαλᾶν καλὰ δέρματα, τάς μοι ἁπάσας
Λὶψ κόμαρον τρωγοίσας ἀπὸ σκοπιᾶς ἐτίναξε.
Τῶ δὲ θέρους φρύγοντος ἐγὼ τόσσον μελεδαίνω,
Οσσον ἐρῶντι πατρὸς μύθων ϗ ματρὸς ἀκούειν.
Οὕτω Δάφνις ἄεισεν ἐμίν· οὕτω δὲ Μενάλκας·
ΜΕ. Αἴτνα μᾶτερ ἐμά, κἠγὼ καλὸν ἄντρον ἐνοικῶ

Κοί-

Κοίλαις ἐν πέτρῃσιν· ἔχω δέ τοι ὅσσ' ἐν ὀνείρῳ
Φαίνονται, πολλὰς μὲν ὄϊς, πολλὰς δὲ χιμαίρας,
Ὧν μοι πρὸς κεφαλᾷ καὶ παρ' ποσὶ κώεα κεῖνται.
Ἐν πυρὶ δὲ δρυΐνῳ χόρια ζεῖ, ἐν πυρὶ δ' αὖαι
Φαγοὶ χειμαίνοντος· ἔχω δέ τοι οὐδ' ὅσον ὤραν
Χείματος, ἢ νωδὸς καρύων, ἀμύλοιο παρόντος.
Τοῖς μὲν ἐπεπλατάγησα, καὶ αὐτίκα δῶρον ἔδωκα.
Δάφνιδι μὲν κορύναν, τάν μοι πατρὸς ἔτρεφεν ἀγρὸς,
Αὐτοφυᾶ, τὰν οὐδ' ἂν ἴσως μωμάσαιτο τέκτων·
Τήνῳ δὲ στρόμβῳ καλὸν ὄστρακον, οὗ κρέας αὐτὸς
Σιτάθην, πέτραισιν ἐν Ἰκαρίαισι δοκεύσας,
Πέντε ταμὼν πέντ' οὖσιν. ὁ δ' ἐγκαναχήσατο κόχλῳ·
Βωκολικαὶ μῶσαι μάλα χαίρετε· φαίνετε δ' ᾠδὰν
Τάν ποκ' ἐγὼ τήνοισι παρὼν ἄεισα νομεῦσι.
Μήκετ' ἐπὶ γλώσσας ἄκρας ὀλοφυγδόνα φύσῃς.
Τέττιξ μὲν τέττιγι φίλος, μύρμακι δὲ μύρμαξ,
Ἴρηκες δ' ἴρηξιν· ἐμὶν δ' ἁ μῶσα καὶ ᾠδά·
Τᾶς μοι πᾶς εἴη πλεῖος δόμος. οὔτε γὰρ ὕπνος,
Οὔτ' ἔαρ ἐξαπίνας γλυκερώτερον, οὔτε μελίσσαις
Ἄνθεα, ὅσσον ἐμὶν μῶσαι φίλαι· οὓς γὰρ ὁρῶσαι
Γαθεῦσιν, τὼς δ' οὔτι ποτῷ δαλήσατο Κίρκα.

## ΥΠΟΘΕΣΙΣ.

Προσδιαλέγονται ἀλλήλοις ἐν τῷ θερίζειν Μίλων καὶ Βάττος· Ἐρῶν δ' ὁ Βάττος Βομβύκας αὐλητρίδος, Πολυβώτου τινὸς εἴτε θυγατρὸς εἴτε θεραπαίνης, ὀκνηρῶς ἐργάζεται. καὶ διὰ τοῦτο πυνθανομένου τοῦ Μίλωνος τί οὕτω βραδέως θερίζει, ὁ Βάττος τὸν αὐτοῦ ἔρωτα δηλοῖ, καὶ ᾠδὴν εἰς τὴν ἐρωμένην αὐτοῦ ἀπαγγέλλει. Παυσάμενον δὲ τῆς ᾠδῆς αἰνεῖ ὁ Μίλων, ὡς πρέπουσαν ἐργάτῃ ᾠδὴν εἴρηκεν.

# ΕΡΓΑΤΙΝΑΙ, ἢ ΘΕΡΙΣΤΑΙ,

## ΕΙΔΥΛΛΙΟΝ ί.

### ΜΙΛΩΝ καὶ ΒΑΤΤΟΣ.

Ἐργατίνα Βουκαῖε, τί νῦν ὠζυρὲ πεπόνθεις;
Οὔθ' ἑὸν ὄγμον ἄγειν ὀρθὸν δύνᾳ, ὡς τοπρὶν ἄγες·
Οὔθ' ἅμα λαιοτομεῖς τῷ πλατίον· ἀλλ' ὑπολείπῃ,
Ὥσπερ ὄϊς ποίμνας, τᾶς τὸν πόδα κάκτος ἔτυψεν.
Ποῖός τις δείλαν τε καὶ ἐν μέσῳ ἅματος ἐσσῆ,
Ὃς νῦν ἀρχόμενος τᾶς αὔλακος οὐκ ἀποτρώγεις;
ΒΑ. Μίλων ὀψαμάτα, πέτρας ἀπόκομμ' ἀτεράμνω,
Οὐδαμά τοι συνέβα ποθέσαι τινὰ τῶν ἀπεόντων;
ΜΙ. Οὐδαμά· τίς δὲ πόθος τῶν ἔκτοθεν ἐργάτᾳ ἀνδρί;
ΒΑ. Οὐδαμὰ νῦν συνέβα τοι ἀγρυπνῆσαι δι' ἔρωτα;
ΜΙ. Μηδὲ ξυμβαίη· χαλεπὸν χορίων κύνα γεῦσαι.
ΒΑ. Ἀλλ' ἐγὼ ὦ Μίλων ἔραμαι σχεδὸν ἑνδεκαταῖος.
ΜΙ. Ἐκ πίθω ἀντλεῖς δῆλον· ἐγὼ δ' ἔχω οὐδ' ἅλις ὄξος.
ΒΑ. Τοιγὰρ τοι πρὸ θυρᾶν μευ ἀπὸ σπόρω ἄσκαλα πάντα.
ΜΙ. Τίς δὲ τὺ τᾶν παίδων λυμαίνεται; ΒΑ. Ἁ Πολυβώτα,

Α πρὰν ἀμώντεσσι παρ' Ιπποκόωντι ποταύλει.
ΜΙ. Εὗρε θεὸς τὸν ἀλιτρόν· ἔχεις πάλαι ὧν ἐπεθύμεις.
Μάντις τοι τὰν νύκτα χροΐζεται ἁ καλαμαία.
ΒΑ. Μωμᾶσθαί μ' ἄρχῃ τύ. τυφλὸς δ' οὐκ αὐτὸς ὁ Πλοῦτος,
Αλλὰ καὶ ὠφρόντιστος Ερως· μηδὲν μέγα μυθεῦ.
ΜΙ. Οὐ μέγα μυθεῦμαι· τὺ μόνον κατάβαλλε τὸ λᾶιον
Καί τι κόρας φιλικὸν μέλος ἀμβάλευ· ἅδιον οὕτως
Εργαξῇ· καὶ μὰν πρότερόν ποκα μουσικὸς ἦσθα.
ΒΑ. Μῶσαι Πιερίδες συναείσατε τὰν ῥαδινάν μοι
Παῖδ'. ὧν γὰρ χ' ἅψησθε θεαί, καλὰ πάντα ποιεῖτε.
Βομβύκα χαρίεσσα, Σύραν καλέοντί τυ πάντες,
Ισχνάν, ἁλιόκαυστον· ἐγὼ δὲ μόνος μελίχλωρον.
Καὶ τὸ ἴον μέλαν ἐντί, καὶ ἁ γραπτὰ ὑάκινθος·
Αλλ' ἔμπας ἐν τοῖς στεφάνοις τὰ πρῶτα λέγονται.
Α αἲξ τὸν κύτισον, ὁ λύκος τὰν αἶγα διώκει,
Α γέρανος τὤροτρον· ἐγὼ δ' ἐπὶ τὶν μεμάνημαι.
Αἴθε μοι ἦσαν ὅσα Κροῖσον πόκα φαντὶ πεπᾶσθαι,
Χρύσεοι ἀμφότεροί κ' ἀνεκείμεθα τᾷ Αφροδίτᾳ·
Τὼς αὐλὼς μὲν ἔχοισα, καὶ ἢ ῥόδον, ἢ τύγε μᾶλον,
Σχῆμα δ' ἐγὼ καινὰς ἐπ' ἀμφοτέροισιν ἀμύκλας.
Βομβύκα χαρίεσσ', οἱ μὲν πόδες ἀστράγαλοί τευ,
Α φωνὰ δὲ τρύχνα. τὸν δ' αὖ τρόπον οὐκ ἔχω εἰπεῖν.
ΜΙ. Η καλὰς ἄμμε ποῶν ἐλελήθει βῶκος ἀοιδάς·
Ως εὖ τὰν ἰδέαν τᾶς ἁρμονίας ἐμέτρησεν.
Ως μοι τῶ πώγωνος, ὃν ἀλιθίως ἀνέφυσας·
Θᾶσαι δὴ καὶ ταῦτα τὰ τῶ θείω Λυτιέρσα·
Δάματερ πολύκαρπε, πολύσταχυ, τοῦτο τὸ λᾶιον
Εὔεργόν τ' εἴη, καὶ κάρπιμον ὅττι μάλιστα.
Σφίγγετ' ἀμαλλοδέται τὰ δράγματα, μὴ παριών τις
Εἴποι, Σύκινοι ἄνδρες, ἀπώλετο χ' οὗτος ὁ μισθός.
Ες βορέην ἄνεμον τᾶς κόρθυος ἁ τομὰ ὔμμιν

Η ζέφυρον βλεπέτω· πιαίνεται ὁ στάχυς οὕτως.
Σῖτον ἀλοιῶντες φεύγειν τὸ μεσαμβρινὸν ὕπνον·
Εκ καλάμας ἄχυρον τελέθει τημόσδε μάλιστα.
Αρχεσθαι δ' ἀμῶντας ἐγειρομένω κορυδαλλῶ,
Καὶ λήγειν εὕδοντος· ἐλιννῦσαι δὲ τὸ καῦμα.
Εὐκτὸς ὁ τῶ βατράχω παῖδες βίος· οὐ μελεδαίνει
Τὸν τὸ πιεῖν ἐγχεῦντα· πάρεστι γὰρ ἄφθονον αὐτῷ.
Κάλλιον ὦ 'πιμελητὰ φιλάργυρε τὼς φακὸς ἕψειν,
Μὴ 'πιτάμης τὰν χεῖρα καταπρίων τὸ κύμινον.
Ταῦτα χρὴ μοχθεῦντας ἐν ἁλίῳ ἄνδρας ἀείδεν.
Τὸν δὲ τεὸν Βουκαῖε πρέπει λιμηρὸν ἔρωτα
Μυθίσδεν τᾷ ματρὶ κατ' εὐνὰν ὀρθρευοίσᾳ.

## ΥΠΟΘΕΣΙΣ.

Υπόκειται ὁ Κύκλωψ παρηγορῶν ἑαυτοῦ τὸν ἐπὶ Γαλατείᾳ ἔρωτα δι' ᾠδῆς. προσδιαλέγεται δὲ ὁ Θεόκριτος ἰατρῷ Νικίᾳ, Μιλησίῳ τὸ γένος, ὃς συμφοιτητὴς γέγονεν Ἐρασιστράτου, ἰατροῦ ὄντος καὶ αὐτοῦ. φέρεται δὲ καί τι ποιημάτιον αὐτοῦ ἀντιγεγραμμένον ὑπὲρ Κύκλωπος πρὸς Θεόκριτον.

# ΚΥΚΛΩΨ,

## ΕΙΔΥΛΛΙΟΝ ια'.

ΟΥδὲν ποττὸν ἔρωτα πεφύκει φάρμακον ἄλλο,
Νικία, οὔτ' ἔγχριστον, (ἐμὶν δοκεῖ) οὔτ' ἐπίπαστον,
Η ταὶ Πιερίδες· κοῦφον δέ τι τοῦτο καὶ ἁδὺ
Γίνετ' ἐπ' ἀνθρώποις· εὑρῆν δ' οὐ ῥάδιόν ἐστι.
Γινώσκεν δ' οἶμαι τὺ καλῶς, ἰατρὸν ἐόντα,
Καὶ ταῖς ἐννέα δὴ πεφιλαμένον ἔξοχα μοίσαις.
Οὕτω γοῦν ῥάϊστα διᾶγ' ὁ Κύκλωψ ὁ παρ' ἡμῖν,
Ὠρχαῖος Πολύφαμος, ὄκ' ἤρατο τᾶς Γαλατείας,
Αρτι γενειάσδων περὶ τὸ στόμα τὼς κροτάφως τε·
Ηρατο δ' οὔτι ῥόδοις, οὐ μάλοις, οὐδὲ κικίνοις,
Αλλ' ὀλοαῖς μανίαις· ἁγεῖτο δὲ πάντα πάρεργα.
Πολλάκι ταὶ ὄϊες ποτὶ τ' αὔλιον αὐταὶ ἀπῆνθον
Χλωρᾶς ἐκ βοτάνας· ὁ δὲ τὰν Γαλάτειαν ἀείδων,
Αὐτῶ ἐπ' ἀΐονος κατετάκετο φυκιοέσσας
Εξ ἀοῦς, ἔχθιστον ἔχων ὑποκάρδιον ἕλκος,
Κύπριος ἐκ μεγάλας, τό οἱ ἥπατι πᾶξε βέλεμνον.
Αλλὰ τὸ φάρμακον εὗρε· καθεζόμενος δ' ἐπὶ πέτρας
Υψηλᾶς,

Υψηλᾶς, ἐς πόντον ὁρῶν, ἄειδε τοιαῦτα·
Ω λευκὰ Γαλάτεια, τί τὸν φιλέοντ' ἀποβάλλῃ;
Λευκοτέρα πακτᾶς ποτιδεῖν, ἀπαλωτέρα δ' ἀρνὸς,
Μόσχω γαυροτέρα, φιαρωτέρα ὄμφακος ὠμᾶς.
Φοιτῇς δ' αὖθ' οὕτως ὅκκα γλυκὺς ὕπνος ἔχῃ με·
Οἴχῃ δ' εὐθὺς ἰοῖσα ὅκα γλυκὺς ὕπνος ἀνῇ με·
Φεύγεις δ' ὥσπερ ὄϊς πολιὸν λύκον ἀθρήσασα.
Ηράσθην μὲν ἔγωγε κόρα τεῦ, ἁνίκα πρᾶτον
Ηνθες ἐμᾷ σὺν ματρὶ, θέλοισ' ὑακίνθινα φύλλα
Εξ ὄρεος δρέψασθαι· ἐγὼ δ' ὁδὸν ἡγεμόνευον.
Παύσασθαι δ' ἐσιδὼν τὺ καὶ ὕστερον οὐδέτι πω νῦν
Εκ τήνω δύναμαι· τὶν δ' οὐ μέλει οὐ μὰ Δί' οὐδέν.
Γινώσκω χαρίεσσα κόρα τίνος οὕνεκα φεύγεις.
Οὕνεκά μοι λασία μὲν ὀφρὺς ἐπὶ παντὶ μετώπῳ
Εξ ὠτὸς τέταται ποτὶ θὤτερον ὡς μία μακρά.
Εἷς δ' ὀφθαλμὸς ἔπεστι· πλατεῖα δὲ ῥὶς ἐπὶ χείλει.
Αλλ' ὠὑτὸς τοιοῦτος ἐὼν, βοτὰ χίλια βόσκω,
Κὴκ τούτων τὸ κράτιστον ἀμελγόμενον γάλα πίνω·
Τυρὸς δ' οὐ λείπει μ' οὔτ' ἐν θέρει, οὔτ' ἐν ὀπώρῃ,
Οὐ χειμῶνος ἄκρω· ταρσοὶ δ' ὑπεραχθέες αἰεί.
Συρίσδεν δ' ὡς οὔτις ἐπίσταμαι ὧδε Κυκλώπων,
Τὶν, τὸ φίλον γλυκύμαλον, ἁμᾶ κἠμαυτὸν ἀείδων,
Πολλάκι νυκτὸς ἀωρί. τρέφω δέ τοι ἕνδεκα νεβρὼς,
Πάσας ἀμνοφόρως, καὶ σκύμνως τέσσαρας ἄρκτων.
Αλλ' ἀφίκευ τὺ ποτ' ἄμμε, καὶ ἑξεῖς οὐδὲν ἔλασσον·
Τὰν γλαυκὰν δὲ θάλασσαν ἔα ποτὶ χέρσον ὀρεχθεῖν.
Αδιον ἐν τὤντρῳ παρ' ἐμὶν τὰν νύκτα διαξεῖς·
Εντὶ δάφναι τηνεὶ, ἐντὶ ῥαδιναὶ κυπάρισσοι·
Εντὶ μέλας κισσὸς, ἔντ' ἄμπελος ἁ γλυκύκαρπος·
Εντὶ ψυχρὸν ὕδωρ, τό μοι ἁ πολυδένδρεος Αἴτνα
Λευκᾶς ἐκ χιόνος, ποτὸν ἀμβρόσιον, προΐητι.

Τίς κεν τῶνδε θάλασσαν ἔχειν ἢ κύμαθ' ἕλοιτο;
Αἰδέ τοι αὐτὸς ἐγὼ δοκέω λασιώτερος ἦμες,
Ἐντὶ δρυὸς ξύλα μοι, ϗ ὑπὸ σποδῷ ἀκάματον πῦρ·
Καιόμενος δ' ὑπὸ τεῦ ϗ τὰν ψυχὰν ἀνεχοίμαν,
Καὶ τὸν ἕν' ὀφθαλμὸν, τῶ μοι γλυκερώτερον ὐδέν.
Ὢ μοι ὅτ' ὐκ ἔτεκέν μ' ἁ μάτηρ βράγχι' ἔχοντα,
Ὡς κατέδυν ποτὶ τὶν, ϗ τὰν χέρα τεῦ ἐφίλασα,
Αἰ μὴ τὸ στόμα λῇς· ἔφερον δέ τοι ἢ κρίνα λευκὰ,
Ἢ μάκων' ἁπαλὰν, ἐρυθρὰ πλαταγώνι' ἔχοισαν.
Ἀλλὰ τὰ μὲν, θέρεος, τὰ δὲ γίνεται ἐν χειμῶνι·
Ὥστ' ὐκ ἄν τοι ταῦτα φέρειν ἅμα πάντ' ἐδυνάθην.
Νῦν μὰν ὦ κόριον νῦν αὐτόθι νεῖν γε μαθεῦμαι,
Αἴκά τις σὺν ναῒ πλέων ξένος ὧδ' ἀφίκηται·
Ὡς κεν ἴδω τί ποθ' ἁδὺ κατοικεῖν τὸν βυθὸν ὔμμιν.
Ἐξένθοις Γαλάτεια, ϗ ἐξενθοῖσα λάθοιο
(Ὥσπερ ἐγὼ νῦν ὧδε καθήμενος) οἴκαδ' ἀπενθεῖν·
Ποιμαίνειν δ' ἐθέλοις σὺν ἐμὶν ἅμα, ϗ γάλ' ἀμέλγειν,
Καὶ τυρὸν πᾶξαι, τάμισον δριμεῖαν ἐνεῖσα.
Ἁ μάτηρ ἀδικεῖ με μόνα, ϗ μέμφομαι αὐτᾷ·
Οὐδὲν πᾷ ποχ' ὅλως ποτί τιν φίλον εἶπεν ὑπὲρ μεῦ,
Καὶ ταῦτ', ἆμαρ ἐπ' ἆμαρ ὁρῶσά με λεπτὸν ἐόντα.
Φασῶ τὰν κεφαλὰν ϗ τὼς πόδας ἀμφοτέρως μευ
Σφύσδειν, ὡς ἀνιαθῇ· ἐπεὶ κἠγὼν ἀνιῶμαι.
Ὦ Κύκλωψ, Κύκλωψ, πᾷ τὰς φρένας ἐκπεπότασαι;
Αἴκ' ἐνθὼν ταλάρως τε πλέκοις, ϗ θαλλὸν ἀμάσας
Τοῖς ἄρνεσσι φέροις, τάχα κεν πολὺ μᾶλλον ἔχοις νῶν.
Τὰν παρεοῖσαν ἄμελγε· τί τὸν φεύγοντα διώκεις;
Εὑρήσεις Γαλάτειαν ἴσως ϗ καλλίον' ἄλλαν.
Πολλαὶ (συμπαίσδεν με κόραι τὰν νύκτα κέλονται),
Κιχλίζοντι δὲ πᾶσαι, ἐπήν κ' αὐταῖς ὑπακούσω·
Δηλονότ' ἐν τᾷ γᾷ κἠγών τις φαίνομαι ἦμες.
Οὕτω τοι Πολύφαμος ἐποίμαινεν τὸν ἔρωτα,
Μουσίσδων· ῥᾷον δὲ διᾶγ' ἢ χρυσὸν ἔδωκεν.

ΥΠΟ

## ΥΠΟΘΕΣΙΣ.

Ἐπιγράφεται μὲν τὸ Εἰδύλλιον Αἴτης, γέγραπται δὲ Ἰάδι διαλέκτῳ. Αἴτας δὲ οἱ μὲν Θετταλοὶ καλοῦσι τοὺς ἐρωμένους· οἱ δὲ, Αἴτας, τοὺς ἑταίρους. φασὶ δέ τινες λέγεσθαι τοὺς ἀγαθοὺς, οἷον μὴ ἴτας, ἀντὶ τοῦ μὴ ἰταμούς. ἢ Αἴτης, ὁ συναίτης καὶ συμπολίτης. προσδιαλέγεται δὲ ὁ ἐρῶν τῷ ἐρωμένῳ, καὶ εὔχεται δύο ψυχῶν ἁρμογὴν αὐτοῖς γενέσθαι, καὶ φιλίας ἀσφάλειαν μέχρι τέλους περιμένουσαν· ἵνα καὶ μετὰ θάνατον οἱ μετ' αὐτοὺς φημίσωσιν τὴν ἐν ἀμφοτέροις ὁμόνοιαν. καὶ τοὺς Μεγαρεῖς ἐπαινεῖ, ἐπὶ τῷ τετιμηκέναι Διοκλέα ὑπερασπίσαντα τοῦ ἰδίου ἐρωμένου.

# ΑΙΤΗΣ,

## Εἰδύλλιον ιβ΄.

Ἤλυθες ὦ φίλε κοῦρε τρίτῃ σὺν νυκτὶ καὶ ἠοῖ,
Ἤλυθες· οἱ δὲ ποθεῦντες, ἐν ἤματι γηράσκουσιν.
Ὅσσον ἔαρ χειμῶνος, ὅσον μῆλον βραβύλοιο
Ἥδιον, ὅσσον ὄϊς σφετέρης λασιωτέρη ἀρνὸς,
Ὅσσον παρθενικὴ προφέρει τριγάμοιο γυναικὸς,
Ὅσσον ἐλαφροτέρη μόσχου νεβρὸς, ὅσσον ἀηδὼν
Συμπάντων λιγύφωνος ἀοιδοτάτη πετεηνῶν·
Τόσσον ἔμ' εὔφρηνας σὺ φανείς· σκιερὴν δ' ὑπὸ φηγὸν,
Ἠελίου φρύγοντος ὁδοιπόρος ἔδραμον ὥς τις.
Εἴθ' ὁμαλοὶ πνεύσειαν ἐπ' ἀμφοτέροισιν Ἔρωτες
Νῶϊν, ἐπεσσομένοις δὲ γενοίμεθα πᾶσιν ἀοιδή.
Δοιώ δή τινε τώδε μετ' ἀμφοτέροισι γενέσθην
Φῶθ'· ὁ μὲν, ἦν εἴσπνιλος, φαίη χ' ὠ' μυκλαΐσδων·

Τὸν

Τὸν δ' ἕτερον πάλιν, ὥς κεν ὁ Θεσσαλὸς εἴποι, ἀΐταν·
Αλλήλους δ' ἐφίλησαν ἴσῳ ζυγῷ. ἦ ῥα τότ' ἦσαν
Χρύσειοι πάλαι ἄνδρες, ὅκ' ἀντεφίλησ' ὁ φιληθείς.
Εἰ γὰρ τοῦτο πάτερ Κρονίδη πέλοι· εἰ γὰρ ἀγήρῳ
Αθάνατοι· γενεαῖς δὲ διηκοσίῃσιν ἔπειτα
Αγγείλειεν ἐμοί τις ἀνέξοδον εἰς Αχέροντα,
Η σὴ νῦν φιλότης καὶ τοῦ χαρίεντος ἀΐτεω,
Πᾶσι διὰ στόματος, μετὰ δ' ἠϊθέοισι μάλιστα.
Αλλ' ἤτοι τούτων μὲν ὑπέρτεροι οὐρανίωνες
Εσσονθ' ὡς ἐθέλουσιν· ἐγὼ δέ σε τὸν καλὸν αἰνῶν,
Ψεύδεα ῥινὸς ὕπερθεν ἀραιῆς οὐκ ἀναφύσω.
Ην γὰρ καί τι δάκῃς, τὸ μὲν ἀβλαβὲς εὐθὺς ἔθηκας,
Διπλάσιον δ' ὤνησας· ἔχων δ' ἐπίμετρον ἀπῆλθον.
Νισαῖοι Μεγαρῆες, ἀριστεύοντες ἐρετμοῖς,
Ολβιοι οἰκοίητε, τὸν Αττικὸν ὡς πέρι ἄλλων
Ξείνων τιμήσασθε Διοκλέα τὸν φιλόπαιδα.
Αἰεί οἱ περὶ τύμβον ἀολλέες εἴαρι πρώτῳ
Κοῦροι ἐριδμαίνουσι φιλήματος ἄκρα φέρεσθαι·
Ος δέ κε προσμάξῃ γλυκερώτερα χείλεσι χείλη,
Βριθόμενος στεφάνοισιν ἑὴν πρὸς μητέρ' ἀπῆλθεν.
Ολβιος ὅστις παισὶ φιλήματα κεῖνα διαιτᾷ.
Η που τὸν χαροπὸν Γανυμήδεα πόλλ' ἐπιβωστρεῖ,
Λυδίῃ ἶσον ἔχειν πέτρῃ στόμα, χρυσὸν ὁποίῃ
Πεύθονται μὴ φαῦλον, ἐτήτυμον, ἀργυραμοιβοί.

ΥΠΟ-

## ΥΠΟΘΕΣΙΣ.

Τοῦτο μὲν τὸ Εἰδύλλιον ὅλως διηγηματικόν ἐστιν. ἐκτίθεται γὰρ ὁ ποιητὴς τοῦ μὲν Ὕλα τὴν ὑπὸ τῶν Νυμφῶν ἁρπαγὴν, ὅταν ἐς τὴν κρήνην ἐπιδόρπιον ὕδωρ τῷ Ἡρακλεῖ κομίσων ἀπῴχετο· τοῦ δὲ Ἡρακλέος τὴν πλάνην, καὶ τὴν ὑπὲρ τοῦ Ὕλα βάσανον. Ἱστέον δὲ ὅτι ὁ Ὕλας παῖς ὑπῆρχε Θειοδάμαντος τοῦ δρυτόμου, οὗ ἤρα Ἡρακλῆς.

# ΥΛΑΣ,

## Εἰδύλλιον ιγʹ.

ΟΥΧ ἁμῖν τὸν ἔρωτα μόνοις ἔτεχ', ὡς ἐδοκεῦμες,
Νικία, ᾧ τινι τοῦτο θεῶν ποκα τέκνον ἔγεντο·
Οὐχ ἁμῖν τὰ καλὰ πράτοις καλὰ φαίνεται ἦμες,
Οἳ θνατοὶ πελόμεσθα, τὸ δ' αὔριον οὐκ ἐσορῶμες·
Ἀλλὰ καὶ Ἀμφιτρύωνος ὁ χαλκεοκάρδιος υἱὸς,
Ὃς τὸν λῖν ὑπέμεινε τὸν ἄγριον, ἤρατο παιδὸς
Τῶ χαρίεντος Ὕλα, τῶ τὰν πλοκαμῖδα φορεῦντος·
Καί μιν πάντ' ἐδίδαξε, πατὴρ ὡσεὶ φίλον υἷα,
Ὅσσα μαθὼν, ἀγαθὸς καὶ ἀοίδιμος αὐτὸς ἔγεντο·
Χωρὶς δ' οὐδέποκ' ἦς, οὐδ' εἰ μέσον ἆμαρ ἔραιτο,
Οὐδ' ὄκχ' ἁ λεύκιππος ἀνατρέχοι ἐς Διὸς ἀὼς,
Οὐδ' ὁπότ' ὀρτάλιχοι μινυροὶ ποτὶ κοῖτον ὁρῷεν,
Σεισαμένας πτερὰ ματρὸς ἐπ' αἰθαλόεντι πετεύρῳ·
Ὡς αὐτῷ κατὰ θυμὸν ὁ παῖς πεποναμένος εἴη,
Αὐτῷ δ' εὖ ἕλκων ἐς ἀλαθινὸν ἄνδρ' ἀποβαίη.
Ἀλλ' ὅτε τὸ χρύσειον ἔπλει μετὰ κῶας Ἰήσων
Αἰσονίδας, οἱ δ' αὐτῷ ἀριστῆες συνέποντο,

Πασᾶν

Πασᾶν ἐκ πολίων προλελεγμένοι, ὧν ὄφελός τι·
Ικετο χὠ ταλαεργὸς ἐς ἀφνειὰν Ιαολκὸν
Αλκμήνας υἱὸς Μιδεάτιδος ἡρωΐνας·
Σὺν δ' αὐτῷ κατέβαινεν Υλας εὔεδρον ἐς Αργὼ,
Ατις Κυανεᾶν οὐχ ἥψατο συνδρομάδων ναῦς,
Αλλὰ διεξάϊξε (βαθὺν δ' εἰσέδραμε Φᾶσιν)
Αἰετὸς ὥς, μέγα λαῖτμα· ἀφ' οὗ τότε χοιράδες ἔσαν.
Αμος δ' ἀντέλλοντι Πελειάδες, ἐσχατιαὶ δὲ
Αρνα νέον βόσκοντι, τετραμμένου εἴαρος ἤδη,
Τᾶμος ναυτιλίας μιμνάσκετο θεῖος ἄωτος
Ηρώων· κοίλαν δὲ καθιδρυνθέντες ἐς Αργὼ,
Ελλάσποντον ἵκοντο, νότῳ τρίτον ἆμαρ ἀέντι·
Εἴσω δ' ὅρμον ἔθεντο Προποντίδος, ἔνθα Κιανῶν
Αὔλακας εὐρύνοντι βόες τρίβοντες ἄροτρον.
Εκβάντες δ' ἐπὶ θῖνα, κατὰ ζυγὰ δαῖτα πένοντο
Δειλινοί· πολλοὶ δὲ μίαν στορέσαντο χαμεύναν.
Λειμὼν γάρ σφιν ἔκειτο, μέγα στιβάδεσσιν ὄνειαρ·
Ενθεν βούτομον ὀξὺ, βαθὺν δ' ἐτάμοντο κύπειρον.
Κὤχεθ' Υλας ὁ ξανθὸς ὕδωρ ἐπιδόρπιον οἰσῶν
Αὐτῷ θ' Ηρακλῆϊ καὶ ἀστεμφεῖ Τελαμῶνι,
(Οἳ μίαν ἄμφω ἑταῖροι ἀεὶ δαίνυντο τράπεζαν)
Χάλκεον ἄγγος ἔχων. τάχα δὲ κράναν ἐνόησεν
Ημένῳ ἐν χώρῳ· περὶ δὲ θρία πολλὰ πεφύκει,
Κυάνεόν τε χελιδόνιον, χλοερόν τ' ἀδίαντον,
Καὶ θάλλοντα σέλινα, καὶ εἰλιτενὴς ἄγρωστις·
Υδατι δ' ἐν μέσσῳ νύμφαι χορὸν ἀρτίζοντο,
Νύμφαι ἀκοίμητοι, δειναὶ θεαὶ ἀγροιώταις,
Εὐνίκα καὶ Μαλὶς, ἔαρ θ' ὁρόωσα Νυχεία.
Ητοι ὁ κοῦρος ἐπεῖχε ποτῷ πολυχανδέα κρωσσὸν,
Βάψαι ἐπειγόμενος· ταὶ δ' ἐν χερὶ πᾶσαι ἔφυσαν.
Πασάων γὰρ ἔρως ἁπαλὰς φρένας ἀμφεκάλυψεν

Αργείῳ

Ἀργείῳ ἐπὶ παιδί· κατήριπε δ' ἐς μέλαν ὕδωρ
Ἀθρόος, ὡς ὅτε πυρρὸς ἀπ' οὐρανοῦ ἤριπεν ἀστὴρ
Ἀθρόος ἐς πόντον. ναύταις δέ τις εἶπεν ἑταῖρος,
Κουφότερ' ὦ παῖδες ποιεῖσθ' ὅπλα· πλευστικὸς οὖρος.
Νύμφαι μὲν σφετέροις ἐπὶ γούνασι κοῦρον ἔχοισαι
Δακρυόεντ', ἀγανοῖσι παρεψύχοντ' ἐπέεσσιν·
Ἀμφιτρυωνιάδας δὲ ταρασσόμενος περὶ παιδὶ,
Ὤχετο, Μαιωτιστὶ λαβὼν εὐκαμπέα τόξα,
Καὶ ῥόπαλον, τό οἱ αἰὲν ἐχάνδανε δεξιτερὴ χείρ.
Τρὶς μὲν Ὕλαν ἄϋσεν ὅσον βαθὺς ἤρυγε λαιμὸς,
Τρὶς δ' ἄρ' ὁ παῖς ὑπάκουσεν· ἀραιὰ δ' ἵκετο φωνὰ
Ἐξ ὕδατος· παρεὼν δὲ μάλα σχεδὸν, εἴδετο πόρρω.
Ὡς δ' ὁπότ' ἠϋγένειος ἀπόπροθι λὶς ἐσακούσας
Νεβρῶ φθεγξαμένας τὶς ἐν ὤρεσιν, ὠμοφάγος λὶς,
Ἐξ εὐνᾶς ἔσπευσεν ἑτοιμοτάτην ἐπὶ δαῖτα.
Ἡρακλέης τοιοῦτος ἐν ἀτρίπτοισιν ἀκάνθαις
Παῖδα ποθῶν δεδόνητο, πολὺν δ' ἐπελάμβανε χῶρον.
Σχέτλιοι οἱ φιλέοντες. ἀλώμενος ὅσσ' ἐμόγησεν
Ὤρεα καὶ δρυμώς· τὰ δ' Ἰάσονος ὕστερα πάντ' ἦς.
Ναῦς μένεν ἄρμεν' ἔχοισα μετάρσια τῶν παρεόντων·
Ἱστία δ' ἠΐθεοι μεσονύκτιον ἐξεκάθαιρον,
Ἡρακλῆα μένοντες· ὁ δ' ᾇ πόδες ἆγον ἐχώρει
Μαινόμενος· χαλεπὸς γὰρ ἔσω θεὸς ἧπαρ ἄμυσσεν.
Οὕτω μὲν κάλλιστος Ὕλας μακάρων ἀριθμεῖται.
Ἡρακλέην δ' ἥρωες ἐκερτόμεον λιποναύταν,
Οὕνεκεν ἠρώησε τριακοντάζυγον Ἀργώ.
Πεζὸς δ' ἐς Κόλχως τε καὶ ἄξενον ἵκετο Φᾶσιν.

## ΥΠΟΘΕΣΙΣ.

Επιγράφεται τῦτο τὸ εἰδύλλιον Κυνίσκας ἔρως. ἡ γὰρ γυνὴ Αἰσχίνε μᾶλλον προσέκειτο Λύκῳ τινὶ γείτονος υἱῷ, καταφρονῦσα τῦ Αἰσχίνου. Θυωνίχε δέ τινος ἑταίρου προσιόντος αὐτῷ διὰ χρόνε, διηγεῖται αὐτῷ τὰ περὶ Κυνίσκας. κατὰ δὲ τὸ τέλος λέγει καὶ ὁ Θυώνιχος βραχὺ μὲν, ἀλλὰ λαμπρὸν Πτολεμαίε τῦ Φιλαδέλφε ἐγκώμιον.

# ΚΥΝΙΣΚΑΣ ΕΡΩΣ,

## Ἢ ΘΥΩΝΙΧΟΣ,

## Εἰδύλλιον ιδ´.

### ΑΙΣΧΙΝΗΣ καὶ ΘΥΩΝΙΧΟΣ.

ΧΑίρην πολλὰ τὸν ἄνδρα Θυώνιχον. Θυ. Αλλὰ τοὶ αὐτῷ,
Αἰσχίνα. Αἰσχ. Ως χρόνιος. Θυ. Χρόνιος; τί δέ τοι τὰ μέλημα;
ΑΙΣ. Πράσσομες ὐχ ὡς λῷστα Θυώνιχε. ΘΥ. Ταῦτ᾽ ἄρα λεπτὸς,
Χὠ μύσταξ πολὺς ὗτος ἄρ᾽, αὐαλέοι δὲ κικῖνοι
Τοιῦτος πρώαν τις ἀφίκετο Πυθαγοριστὰς,
Ωχρὸς κἀνυπόδατος, Αθηναῖος δ᾽ ἔφατ᾽ ἦμες.
Ηρατο μὰν καὶ τῆνος (ἐμὶν δοκεῖ) ὀπτῶ ἀλεύρω.
ΑΙΣ. Παίσδεις ὦ᾽ γαθ᾽ ἔχων· ἐμὲ δ᾽ ἁ χαρίεσσα Κυνίσκα
Υβρίσδει· λασῶ δὲ μανεὶς ποκα· θρὶξ ἀνὰ μέσσον.

ΘΥ.

ΘΥ. Τοιοῦτος μὲν ἀεὶ τὺ φίλ' Αἰσχίνα, ἄσυχος, ὀξὺς,
Πάντ' ἐθέλων κατὰ καιρόν· ὅμως δ' εἰπὸν τί τὸ καινόν.
ΑΙΣ. Ω 'ργεῖος, κἠγὼν, ϗ ὁ Θεσσαλὸς ἱπποδιώκτας
Απις ϗ Κλεύνικος ἐπίνομες ὁ στρατιώτας
Εν χώρῳ παρ' ἐμίν· δύο μὲν κατέκοψα νεοσσὼς,
Θηλάζοντά τε χοῖρον· ἀνῷξα δὲ βύβλινον αὐτοῖς
Εὐώδη, τετόρων ἐτέων, σχεδὸν ὡς ἀπὸ λανῶ.
Βολβός τις κοχλίας ἐξηρέθη· ἧς πότος ἀδύς.
Ηδη δὲ προϊόντος, ἔδοξ' ἐπιχεῖσθαι ἄκρατον,
Ωτινος ἤθελ' ἕκαστος· ἔδει μόνον ὥτινος εἰπεῖν.
Αμμες μὲν φωνεῦντες ἐπίνομες ὡς ἐδέδοκτο·
Α δ' οὐδὲν, παρεόντος ἐμεῦ. τίν' ἔχειν με δοκεῖς νοῦν;
Οὐ φθεγξῇ; λύκον εἶδες, ἔπαιξέ τις ὡς σοφὸς εἶπεν·
Κἦφθα. εὐμαρέως κεν ἀπ' αὐτᾶς ϗ λύχνον ἅψαις.
Εντὶ Λύκος, Λύκος ἐντὶ, Λάβα τῶ γείτονος υἱὸς,
Εὐμάκης χ' ἁπαλὸς, πολλοῖς δοκέων καλὸς ἦμεν·
Τούτω τὸν κλύμενον κατετάκετο τῆνον ἔρωτα·
Χἀμῖν τοῦτο δι' ὠτὸς ἔγεντό ποθ' ἥσυχα οὕτως·
Οὐ μὰν ἐξήταξα, μάταν εἰς ἄνδρα γενειῶν.
Ηδη δ' οὖν πόσιος τοὶ τέτταρες ἐν βάθει ἦμες,
Χὠ Λαρισσαῖος τὸν ἐμὸν Λύκον ᾆδεν ἀπ' ἀρχῆς,
Θεσσαλικόν τι μέλισμα, κακαὶ φρένες· ἁ δὲ Κυνίσκα
Εκλαεν ἐξαπίνας θαλερώτερον ἢ περὶ ματρὶ
Παρθένος ἑξαέτις κόλπω ἐπιθυμήσασα.
Τᾶμος ἐγὼν, τὸν ἴσης τὺ Θυώνιχε, πὺξ ἐπὶ κόρρας
Ηλασα, κἄλλαν αὖθις· ἀνειρύσασα δὲ πέπλως,
Εξω ἀπῴχετο θᾶσσον. ἐμὸν κακὸν, οὔτοι ἀρέσκω;
Αλλός τοι γλυκίων ὑποκόλπιος· ἄλλον ἰοῖσα
Θάλπε φίλον· τήνῳ τὰ σὰ δάκρυα μᾶλα ῥέοντι.
Μάστακα δ' οἷα τέκνοισιν ὑπωροφίοισι χελιδὼν
Αψορρον ταχινὰ πέτεται βίον ἄλλον ἀγείρειν,

Ὠκυτέρα μαλακᾶς ἀπὸ δίφρακος ἔδραμε τήνα
Ἰθὺ δί᾽ ἀμφιθύρω καὶ δικλίδος, ᾇ πόδες ἆγον·
Αἶνος θὴν λέγεταί τις, ἔβα καὶ ταῦρος ἀν᾽ ὕλαν.
Εἴκατι ταὶ δ᾽, ὀκτὼ ταὶ δ᾽, ἐννέα ταὶ δὲ, δέκ᾽ ἄλλαι,
Σάμερον ἑνδέκατος· ποτίθει δύο, καὶ δύο μᾶνες,
Ἐξ ὧ ἀπ᾽ ἀλλάλων· οὐδὲ Θρακιστὶ κέκαρμαι.
Ἁ δὲ, Λύκῳ νῦν πάντα, Λύκῳ καὶ νυκτὸς ἀνῷκται·
Ἄμμες δ᾽ οὔτε λόγω τινὸς ἄξιοι, οὔτ᾽ ἀριθμητοὶ,
Δύστανοι Μεγαρῆες, ἀτιμοτάτῃ ἐνὶ μοίρᾳ.
Κεἰ μὲν ἀποστέρξαιμι, τὰ πάντα κεν εἰς δέον ἕρποι·
Νῦν δέ ποθ᾽, ὡς μῦς, φαντὶ, Θυώνιχε, γεύμεθα πίσσας.
Χ᾽ ὅτι τὸ φάρμακόν ἐστιν ἀμηχανέοντος ἔρωτος,
Οὐκ οἶδα· πλὰν Σῖμος ὁ τᾶς Ἐπιχάλκω ἐρασθεὶς,
Ἐκπλεύσας, ὑγιὴς ἐπανῆλθ᾽, ἐμὸς ἡλικιώτας.
Πλεύσουμαι κἠγὼ διαπόντιος· οὔτε κάκιστος,
Οὔτε πρᾶτος ἴσως, ὁμαλὸς δέ τις ὁ στρατιώτας.
ΘΥ. Ὤφελε μὰν χωρεῖν κατὰ νοῦν τεὸν ὧν ἐπιθύμεις
Αἰσχίνα. εἰ δ᾽ οὕτως ἄρα σοι δοκεῖ ὥστ᾽ ἀποδημεῖν,
Μισθοδότας Πτολεμαῖος ἐλευθέρῳ οἷος ἄριστος.
ΑΙΣ. Τἄλλα δ᾽ ἀνὴρ ποῖός τις; ΘΥ. Ἐλευθέρῳ ὅστις ἄριστος,
Εὐγνώμων, φιλόμουσος, ἐρωτικὸς, εἰς ἄκρον ἁδύς·
Εἰδὼς τὸν φιλέοντα, τὸν οὐ φιλέοντ᾽ ἔτι μᾶλλον·
Πολλοῖς πολλὰ διδοὺς· αἰτεύμενος, οὐκ ἀνανεύων,
Οἷα χρὴ βασιλῆ᾽· αἰτεῖν δὲ δεῖ οὐκ ἐπὶ παντὶ,
Αἰσχίνα· ὥστ᾽ εἴ τοι κατὰ δεξιὸν ὦμον ἀρέσκει
Λῶπον ἄκρον περονᾶσθαι, ἐπ᾽ ἀμφοτέρων δὲ βεβακὼς
Τολμασεῖς ἐπιόντα μένειν θρασὺν ἀσπιδιώταν,
Ἃ τάχος εἰς Αἴγυπτον. ἀπὸ κροτάφων πελόμεσθα
Πάντες γηραλέοι, καὶ ἐπισχερὼ ἐς γένυν ἕρπει
Λευκαίνων ὁ χρόνος. ποιεῖν τι δεῖ οἷς γόνυ χλωρόν;

ΥΠΟ-

## ΥΠΟΘΕΣΙΣ.

Ἐπιγράφεται μὲν τοῦτο τὸ εἰδύλλιον Συρακούσιαι ἢ Ἀδωνιάζουσαι. ὑποτίθεται δέ τινας Συρακουσίας τὸ γένος, παρεπιδημούσας ἐν Ἀλεξανδρείᾳ, καὶ ἐπὶ θέαν ἐξιούσας τῆς πομπῆς τοῦ κομισθέντος Ἀδώνιδος ὑπὸ Ἀρσινόης τῆς τοῦ Πτολεμαίου τοῦ Φιλαδέλφου γυναικός. ἔθος δὲ εἶχον οἱ ἐν Ἀλεξανδρείᾳ τοῖς Ἀδωνίοις διακομίσαντας τὰ εἴδωλα τοῦ Ἀδώνιδος μετὰ τῶν νομιζομένων ἐπὶ τὴν θάλασσαν κομίζειν. διαγράφει δὲ ὁ Θεόκριτος, χαριζόμενος τῇ βασιλίδι, ᾄδουσάν τινα, καὶ τὴν πολυτέλειαν τῆς Ἀρσινόης δι' ᾠδῆς ἀπαγγέλλουσαν.

# ΣΥΡΑΚΟΥΣΙΑΙ,

## ἢ ΑΔΩΝΙΑΖΟΥΣΑΙ,

## Εἰδύλλιον ιε'.

ΓΟΡΓΩ, ΕΥΝΟΗ, ΠΡΑΞΙΝΟΗ, ΓΡΑΥΣ, ΞΕΝΟΣ.

ΕΝδοῖ Πραξινόα; Εὐ. Γοργὼ φίλα, ὡς χρόνῳ; ἔνδοῖ.
ΠΡ. Θαῦμ' ὅτι καὶ νῦν ἦνθες. ὅρη δίφρον Εὐνόα αὐτῇ·
Ἔμβαλε καὶ ποτίκρανον. Εὐ. Ἔχει κάλλιστα. Πρ. Καθίζευ·
ΓΟ. Ὢ τᾶς ἀδεμάτω ψυχᾶς· μόλις ὔμμιν ἐσώθην,
Πραξινόα, πολλῶ μὲν ὄχλω, πολλῶν δὲ τεθρίππων.
Παντᾷ κρηπῖδες, παντᾷ χλαμυδηφόροι ἄνδρες·
Ἁ δ' ὁδὸς ἄτρυτος· τὺ δ' ἑκαστοτέρω ἔμ' ἀποικεῖς.
ΠΡ. Ταῦθ' ὁ πάραρος τῆνος ἐπ' ἔσχατα γῆς ἔλαβ' ἐνθὼν,
Ἰλεὸν, οὐκ οἴκησιν· ὅπως μὴ γείτονες ὦμες
Ἀλλάλαις, ποτ' ἔριν φθονερὸν κακὸν αἰὲν ἐμεῖο.
ΓΟ. Μὴ λέγε τὸν τέον ἄνδρα φίλα τοιαῦτα Δίωνα,

Τῶ μικκῶ παρεόντος· ὅρη γύναι ὡς ποθορῇ τύ.
ΠΡ. Θάρσει Ζωπυρίων γλυκερὸν τέκος, οὐ λέγω ἀπφῦν.
ΓΟ. Αἰσθάνεται τὸ βρέφος, ναὶ τὰν πότναν. καλὸς ἀπφῦς.
ΠΡ. Απφῦς μὲν τῆνος πρώαν (λέγομες πρώαν θὴν
Πάντα) νίτρον καὶ φῦκος ἀπὸ σκανᾶς ἀγοράσδων,
Ηνθε φέρων ἅλας ἄμμιν, ἀνὴρ τρισκαιδεκάπηχυς.
ΓΟ. Χὠμὸς ταῦτά γ' ἔχει, φθόρος ἀργυρίω, Διοκλείδας·
Επτὰ δραχμῶν κυνάδας, γραιᾶν ἀποτίλματα πηρῶν,
Πέντε πόκως ἔλαβ' ἐχθὲς, ἅπαν ῥύπος, ἔργον ἐπ' ἔργῳ.
Αλλ' ἴθι, τὠμπέχονον καὶ τὰν περονατρίδα λάζευ.
Βᾶμες τῶ βασιλῆος ἐς ἀφνειῶ Πτολεμαίω,
Θασόμεναι τὸν Αδονιν. ἀκούω χρῆμα καλόν τι
Κοσμῆν τὰν βασίλισσαν. Πρ. Εν ὀλβίω ὄλβια πάντα.
Ων εἶδες, χὤν εἶπας ἰδοῖσα τὺ τῷ μὴ ἰδόντι.
ΓΟ. Ερπην ὥρα κ' εἴη· ἀεργοῖς αἰὲν ἑορτά.
ΠΡ. Εὐνόα αἶρε τὸ νᾶμα, καὶ ἐς μέσον αἰνόθρυπτε
Θὲς πάλιν. αἱ γαλέαι μαλακῶς χρήζοντι καθεύδην.
Κινεῦ δὴ, φέρε θᾶσσον ὕδωρ. ὕδατος πρότερον δεῖ.
Α δ' ὡς νᾶμα φέρει. δὸς ὅμως· μὴ πουλὺ ἄπληστε
Εγχει ὕδωρ δύστανε· τί μευ τὸ χιτώνιον ἄρδεις;
Παῦσαι· ὁκοῖα θεοῖς ἐδόκει, τοιαῦτα νένιμμαι.
Α κλὰξ τᾶς μεγάλας πᾶ λάρνακος; ὧδε φέρ' αὐτάν.
ΓΟ. Πραξινόα, μάλα τοι τὸ καταπτυχὲς ἐμπερόναμα
Τοῦτο πρέπει. λέγε μοι, πόσσω κατέβα τοι ἀφ' ἱστῶ;
ΠΡ. Μὴ μνάσῃς Γοργοῖ· πλέον ἀργυρίω καθαρῶ μνᾶν
Η δύο. τοῖς δ' ἔργοις καὶ τὰν ψυχὰν ποτέθηκα.
ΓΟ. Αλλὰ κατὰ γνώμαν ἀπέβα τοι. Πρ. Ναὶ· καλὸν εἶπας.
Τὠμπέχονον φέρε μοι, καὶ τὰν θολίαν· κατὰ κόσμον
Αμφίθες. οὐκ ἀξῶ τὺ τέκνον· μορμὼ, δάκνει ἵππος·
Δάκρυε ὅσσα θέλεις· χωλὸν δ' οὐ δεῖ τὺ γενέσθαι.
Ερπωμες. Φρυγία τὸν μικκὸν παῖσδε λαβοῖσα·

Τὰν

Τὰν κύν' ἔσω κάλεσον, τὰν αὐλείαν ἀπόκλαξον.
Ω θεοὶ, ὅσσος ὄχλος. ϖῶς ϗ ϖόκα τῦτο ϖεράσαι
Χρὴ τὸ κακόν; μύρμακες ἀνήριθμοι ϗ ἄμετροι.
Πολλά τοι ὦ Πτολεμαῖε ϖεποίηται καλὰ ἔργα,
Εξ ὦ ἐν ἀθανάτοις ὁ τεκών· ὐδεὶς κακοεργὸς
Δαλεῖται τὸν ἰόντα, ϖαρέρπων Αἰγυπτιστί·
Οἷα ϖρὶν ἐξ ἀπάτας κεκροταμένοι ἄνδρες ἔπαισδον,
Αλλάλοις ὁμαλοὶ, κακὰ ϖαίγνια, πάντες ἐρειοί.
Αδίστα Γοργοῖ, τί γενοίμεθα; τοὶ ϖολεμισταὶ
Ιπποι τῶ βασιλῆος. ἄνερ φίλε, μή με ϖατήσῃς.
Ορθὸς ἀνέστα ὁ ϖυῤῥός. ἴδ' ὡς ἄγριος, κυνοθαρσής.
Εὐνόα ὐ φευξῇ; διαχρησεῖται τὸν ἄγοντα.
Ωνάθην μεγάλως ὅτι μοι τὸ βρέφος μένει ἔνδον.
ΓΟ. Θάρσει Πραξινόα· ϗ δὴ γεγενήμεθ' ὄπισθεν.
Τοὶ δ' ἔβαν ἐς χώραν. Πρ. Καὐτὰ συναγείρομαι ἤδη.
Ιππον ϗ τὸν ψυχρὸν ὄφιν ταμάλιστα δεδοίκω
Εκ ϖαιδός. σπεύδωμες· ὄχλος πολὺς ἄμμιν ἐπιῤῥεῖ.
ΓΟ. Εξ αὐλᾶς ὦ μᾶτερ; Γρ. Εγὼν, ὦ τέκνα. Γο. Παρενθεῖν
Ευμαρές; Γρ. Ες Τροίην ϖειρώμενοι ἦλθον Αχαιοί.
Καλλίστα ϖαίδων, ϖείρᾳ θὴν ϖάντα τελεῖται.
ΓΟ. Χρησμὼς ἁ ϖρεσβῦτις ἀπῴχετο θεσπίξασα.
Πάντα γυναῖκες ἴσαντι, ϗ ὡς Ζεὺς ἠγάγεθ' Ηρην.
Θᾶσαι Πραξινόα ϖερὶ τὰς θύρας ὅσσος ὅμιλος.
ΠΡ. Θεσπέσιος. Γοργοῖ δὸς τὰν χέρα μοι, λαβὲ ϗ τὺ
Εὐνόα Εὐτυχίδος· ϖότεχ' αὐτᾷ, μή τυ ϖλανηθῇς.
Πᾶσαι ἅμ' εἰσένθωμες ἀπρίξ· ἔχευ Εὐνόα ἁμῶν.
Ω μοι δειλαία, δίχα μευ τὸ θερίστριον ἤδη
Εσχισται Γοργοῖ. ϖοττῶ Διὸς, εἴ τι γένοιο
Εὐδαίμων, ὤνθρωπε, φυλάσσεο τὠμπέχονόν μευ. [ὄχλος
ΞΕ. Οὐκ ἐπ' ἐμὶν μὲν, ὅμως δὲ φυλάξομαι. Πρ. Αθρόος·
Ωθεῦνθ'

Ὠθεῦνθ' ὥστε ὕες. ΞΕ. Θάρσει γύναι. ἐν καλῷ εἰμές.
ΠΡ. Κεὶς ὥρας κἤπειτα φίλ' ἀνδρῶν ἐν καλῷ εἴης,
Ἄμμε περιστέλλων· χρηστῶ κ' οἰκτίρμονος ἀνδρός.
Θλίβεται Εὐνόα ἄμμιν. ἄγ' ὦ δειλὰ τὺ βιάζευ.
Κάλλιστ'· ἔνδοι πᾶσαι, ὁ τὰν νυὸν εἶπ' ἀποκλάξας.
ΓΟ. Πραξινόα, πόταγ' ὧδε· τὰ ποικίλα πρᾶτον ἄθρησον,
Λεπτὰ καὶ ὡς χαρίεντα· θεῶν περονάματα φασεῖς.
ΠΡ. Πότνι' Ἀθηναία, ποῖαί σφ' ἐπόνασαν ἔριθοι;
Ποῖοι ζωογράφοι τἀκριβέα γράμματ' ἔγραψαν;
Ὡς ἔτυμ' ἑστήκαντι, καὶ ὡς ἔτυμ' ἐνδινεῦντι,
Ἔμψυχ', οὐκ ἐνυφαντά. (σοφόν τι χρῆμ' ὤνθρωπος·
Αὐτὸς δ' ὡς θαητὸς ἐπ' ἀργυρέῳ κατάκειται)
Κλισμῷ, πρᾶτον ἴουλον ἀπὸ κροτάφων καταβάλλων
Ὁ τριφίλατος Ἄδωνις, ὃ κὴν Ἀχέροντι φιλεῖται.
ΞΕ. Παύσασθ' ὦ δύστανοι ἀνάνυτα κωτίλλοισαι.
Τρυγόνες ἐκκναισεῦντι, πλατυάσδοισαι ἅπαντα.
ΓΟ. Μᾶ πόθεν ὤνθρωπος; τί δὲ τίν εἰ κωτίλαι εἰμές;
Πασσάμενος ἐπίτασσε. Συρακοσίαις ἐπιτάσσεις;
Ὡς εἰδῇς καὶ τοῦτο, Κορίνθιαι εἰμὲς ἄνωθεν,
Ὡς καὶ ὁ Βελλεροφῶν· Πελοποννησιστὶ λαλεῦμες.
Δωρίσδεν δ' ἔξεστι (δοκῶ) τοῖς Δωριέεσσι.
ΠΡ. Μὴ φυῇ μελιτῶδες, ὃς ἁμῶν καρτερὸς εἴη,
Πλὰν ἑνός· οὐκ ἀλέγω μή μοι κενεὰν ἀπομάξῃς.
ΓΟ. Σίγα Πραξινόα, μέλλει τὸν Ἄδωνιν ἀείδειν
Ἁ τῆς Ἀργείας θυγάτηρ πολύϊδρις ἀοιδός,
Ἅ τις καὶ Σπέρχιν τὸν ἰάλεμον ἠρίστευσε·
Φθεγξεῖταί τι (σάφ' οἶδα) καλόν· διαθρύπτεται ἤδη.
Δέσποιν' ἃ Γολγόν τε καὶ Ἰδάλιον ἐφίλασας,
Αἰπεινάν τ' Ἔρυκα, χρυσῷ παίζοισ' Ἀφροδίτα,
Οἷόν τοι τὸν Ἄδωνιν ἀπ' ἀενάω Ἀχέροντος
Μηνὶ δυωδεκάτῳ μαλακαίποδες ἄγαγον Ὧραι.

Βάρδισται

Βάρδισαι μακάρων Ωραι φίλαι, ἀλλὰ ποθειναὶ
Ερχονται, πάντεσσι βροτοῖσιν ἀεί τι φοροῖσαι.
Κύπρι Διωναία, τὺ μὲν ἀθανάταν ἀπὸ θνατῶν
Ανθρώπων (ὡς μῦθος) ἐποίησας Βερονίκαν,
Αμβροσίαν ἐς στῆθος ἀποστάξασα γυναικός·
Τὶν δὲ χαριζομένα πολυώνυμε καὶ πολύναε
Α Βερονικεία θυγάτηρ, Ελένᾳ εἰκυῖα,
Αρσινόα, πάντεσσι καλοῖς ἀτιτάλλει Αδωνιν.
Πὰρ μὲν οἱ ὥρια κεῖται ὅσα δρυὸς ἄκρα φέροντι,
Πὰρ δ' ἁπαλοὶ κᾶποι, πεφυλαγμένοι ἐν ταλαρίσκοις
Αργυρέοις· Συρίω δὲ μύρω χρύσει' ἀλάβαστρα·
Εἴδαλά θ' ὅσσα γυναῖκες ἐπὶ πλαθάνῳ πονέονται,
Ανθεα μίσγοισαι λευκῷ παντοῖ' ἅμ' ἀλεύρῳ
Οσσά τ' ἀπὸ γλυκερῶ μέλιτος, τά τ' ἐν ὑγρῷ ἐλαίῳ·
Πάντ' αὐτῷ πετεηνὰ καὶ ἑρπετὰ τᾷδε πάρεστι.
Χλωραὶ δὲ σκιάδες μαλακῷ βρίθοισαι ἀνήθῳ
Δέδμανθ'· οἱ δέ τε κῶροι ὑπερποτῶνται Ερωτες,
Οἷοι ἀηδονιδῆες ἐφεζόμενοι ἐπὶ δένδρων,
Πωτῶνται, πτερύγων πειρώμενοι, ὄζον ἀπ' ὄζω.
Ω ἔβενος, ὢ χρυσὸς, ὢ ἐκ λευκῶ ἐλέφαντος
Αἰετὼ, οἰνοχόον Κρονίδᾳ Διῒ παῖδα φέροντες.
Πορφύρεοι δὲ τάπητες ἄνω, μαλακώτεροι ὕπνω·
Α Μίλατος ἐρεῖ, χὠ τὰν Σαμίαν καταβόσκων.
Εστρωται κλίνα τῷ Αδώνιδι τῷ καλῷ ἄλλα·
Τὰν μὲν Κύπρις ἔχει, τὰν δ' ὁ ῥοδόπαχυς Αδωνις·
Οκτωκαιδεκέτης ἢ ἐννεακαίδεκ' ὁ γαμβρός.
Οὐ κεντεῖ τὸ φίλαμ', ἔτι οἱ περὶ χείλεα πυρρά.
Νῦν μὲν Κύπρις ἔχοισα τὸν αὐτῆς χαιρέτω ἄνδρα,
Αῶθεν δ' ἄμμες νιν ἅμα δρόσῳ ἀθρόαι ἔξω
Οἰσεῦμες ποτὶ κύματ' ἐπ' αἰόνι πτύοντα·
Λύσασαι δὲ κόμαν, καὶ ἐπὶ σφυρὰ κόλπον ἀνεῖσαι,

Στήθεσι φαινομένοις, λιγυρᾶς ἀρξώμεθ' ἀοιδᾶς.
Ερπεις ὦ φίλ' Αδωνι, ϗ ἐνθάδε κ' εἰς Αχέροντα,
Ημιθέων (ὡς φαντὶ) μονώτατος· οὔτ' Αγαμέμνων
Τοῦτ' ἔπαθ', οὔτ' Αἴας ὁ μέγας βαρυμάνιος ἥρως,
Οὔθ' Εκτωρ Εκάβας ὁ γεραίτερος εἴκατι παίδων,
Οὐ Πατροκλῆς, ἢ Πύῤῥος ἀπὸ Τροίας ἐπανελθὼν,
Οὔθ' οἱ ἔτι πρότεροι Λαπίθαι ϗ Δευκαλίωνες,
Οὐ Πελοπηϊάδαι τε ϗ Αργεος ἄκρα Πελασγοί.
Ιλαθι νῦν φίλ' Αδωνι, ϗ ἐς νέωτ' εὐθυμήσαις.
Καὶ νῦν ἦνθες Αδωνι, ϗ ὅκκ' ἀφίκῃ, φίλος ἥξεις.
ΓΟ. Πραξινόα, τὸ χρῆμα σοφώτερον, ἁ θήλεια
Ολβία· ὅσσα ἴσατι πανολβία, ὡς γλυκύφωνος.
Ωρα ὅμως κ' εἰς οἶκον· ἀνάριστος Διοκλείδας.
Χὡ 'νὴρ ὄξος ἄγαν· πεινᾶντί γε μηδέποτ' ἔνθῃς.
Χαῖρε Αδων ἀγαπητὲ, ϗ ἐς χαίροντας ἀφικνεῦ.

ΥΠΟ-

## ΥΠΟΘΕΣΙΣ.

Τοῦτο τὸ εἰδύλλιον γέγραπται εἰς Ἱέρωνα τὸν Ἱεροκλέους, τὸν ἔχατον Σικελίας τύραννον. κατέχε δὲ τὴν ἀρχὴν, στρατηγὸς ὑποδειχθεὶς ὑπὸ τῶν πολιτῶν, καὶ φθείρας τὰς δυνάμεις, ὥστε τύραννον αὐτὸν ἀγορευθῆναι. μετὰ δὲ τοῦτον ἦρξεν Ἱέρων ὁ Γέλωνος. μηδὲν οὖν εἰληφὼς παρὰ τοῦ Ἱέρωνος Θεόκριτος, διὰ τοῦτο τὸ εἰδύλλιον τοῦτο πεποίηκε, καὶ Χάριτας αὐτὸ ἐπέγραψεν. ἐν ᾧ καὶ τὰ τοῦ Σιμωνίδου ἐμφαίνει κιβώτια. λέγουσι γὰρ αὐτὸν ἔχειν δύο κιβώτια· τὸ μὲν, χαρίτων· τὸ δὲ, διδόντων. ὅτε οὖν τις πρὸς αὐτὸν παρεγίνετο χάριν αἰτούμενος, ἐκέλευε φέρειν τὰ κιβώτια. εὑρίσκετο οὖν τὸ μὲν τῶν χαρίτων, κενόν· τὸ δὲ τῶν διδόντων, πλῆρες· καὶ οὕτως ὁ τὴν δωρεὰν αἰτούμενος ἀνεκόπτετο.

# ΧΑΡΙΤΕΣ, ἢ ΙΕΡΩΝ,

## Εἰδύλλιον ιϛ'.

Αἰεὶ τοῦτο Διὸς κούραις μέλει, αἰὲν ἀοιδοῖς,
Ὑμνεῖν ἀθανάτους, ὑμνεῖν ἀγαθῶν κλέα ἀνδρῶν.
Μῶσαι μὲν, θεαὶ ἐντὶ, θεοὺς θεαὶ ἀείδοντι.
Ἄμμες δὲ βροτοὶ οἵδε, βροτοὺς βροτοὶ ἀείδωμεν.
Τίς γὰρ τῶν ὁπόσοι γλαυκὰν ναίουσιν ὑπ' ἀῶ,
Ἡμετέρας χάριτας πετάσας ὑποδέξεται οἴκῳ
Ἀσπασίως, οὐδ' αὖθις ἀδωρήτους ἀποπεμψεῖ;
Αἳ δὲ σκυζόμεναι γυμνοῖς ποσὶν οἴκαδ' ἴασι,
Πολλά με τωθάσδοισαι ὅτ' ἀλιθίην ὁδὸν ἦνθον·

Οκνηραὶ δὲ πάλιν κενεᾶς ἐπὶ πυθμένι χηλοῦ
Ψυχροῖς ἐν γονάτεσσι κάρη μίμνοντι βαλοῖσαι·
Ενθ' αὔη σφίσιν ἕδρη, ἐπὰν ἄπρακτοι ἵκωντι.
Τίς τῶν νῦν τοιόσδε; τίς εὖ εἰπόντα φιλασεῖ;
Οὐκ οἶδ'· οὐ γὰρ ἔτ' ἄνδρες ἐπ' ἔργοις, ὡς πάρος, ἐσθλοῖς
Αἰνεῖσθαι σπεύδοντι· νενίκηνται δ' ὑπὸ κερδέων.
Πᾶς δ' ὑπὸ κόλπου χεῖρας ἔχων, πόθεν οἴσεται ἀθρεῖ
Αργυρον· οὐδέ κεν ἰὸν ἀποτρίψας τινὶ δοίη·
Αλλ' εὐθὺς μυθεῖται, ἀπωτέρω ἢ γόνυ, κνήμα·
Αὐτῷ μοι τί γένοιτο· θεοὶ τιμῶσιν ἀοιδούς.
Τίς δέ κεν ἄλλου ἀκούσαι; ἅλις πάντεσσιν Ομηρος·
Οὗτος ἀοιδῶν λῷστος, ὃς ἐξ ἐμεῦ οἴσεται οὐδέν.
Δαιμόνιοι, τί δὲ κέρδος ὁ μύριος ἔνδοθι χρυσὸς
Κείμενος; οὐχ ἅδε πλούτου φρονέουσιν ὄνασις·
Αλλὰ τὸ μὲν ψυχᾷ, τὸ δὲ καί τινι δοῦναι ἀοιδῶν·
Πολλοὺς δ' εὖ ἔρξαι παῶν, πολλοὺς δὲ καὶ ἄλλων
Ανθρώπων· αἰεὶ δὲ θεοῖς ἐπιβώμια ῥέζειν.
Μηδὲ ξεινοδόκον κακὸν ἔμμεναι, ἀλλὰ τραπέζῃ
Μειλίξαντ' ἀποπέμψαι, ἐπὰν ἐθέλοντι νέεσθαι.
Μουσάων δὲ μάλιστα τίειν ἱεροὺς ὑποφήτας·
Οφρα κε κ' εἰν αΐδαο κεκρυμμένος, ἐσθλὸς ἀκούσῃς,
Μηδ' ἀκλεὴς μύρηαι ἐπὶ ψυχροῦ Αχέροντος,
Ωσεί τις μακέλᾳ τετυλωμένος ἔνδοθι χεῖρας,
Δειλὴν ἐκ πατέρων πενίην ἀκτήμονα κλαίων.
Πολλοὶ ἐν Αντιόχοιο δόμοις καὶ ἄνακτος Αλεύα
Αρμαλιὴν ἔμμηνον ἐμετρήσαντο πενέσται·
Πολλοὶ δὲ Σκοπάδαισιν ἐλαυνόμενοι ποτὶ σακὸν
Μόσχοι σὺν κεραοῖσιν ἐμυκήσαντο βόεσσι·
Μυρία δ' ἀμπεδίον Κρανώνιον ἐνδιάασκον
Ποιμένες ἔκκριτα μῆλα φιλοξείνοισι Κρεώνδαις·
Αλλ' οὔ σφιν τῶν ἦδος, ἐπεὶ γλυκὺν ἐξεκένωσαν

Θυμὸν ἐς εὐρεῖαν σχεδίαν στυγνοῦ Ἀχέροντος·
Ἄμνασοι δὲ, τὰ πολλὰ καὶ ὄλβια τῆνα λιπόντες,
Δειλοῖς ἐν νεκύεσσι μακροὺς αἰῶνας ἔκειντο,
Εἰ μὴ δεινὸς ἀοιδὸς ὁ Κήϊος αἰόλα φωνέων
Βάρβιτον ἐς πολύχορδον, ἐν ἀνδράσι θῆκ' ὀνομαστοὺς
Ὁπλοτέροις. τιμᾶς δὲ καὶ ὠκέες ἔλλαχον ἵπποι,
Οἵ σφισιν ἐξ ἱερῶν στεφανηφόροι ἦνθον ἀγώνων.
Τίς δ' ἂν ἀριστῆας Λυκίων ποτὲ, τίς κομόωντας
Πριαμίδας, ἢ θῆλυν ἀπὸ χροιᾶς Κύκνον ἔγνω,
Εἰ μὴ φυλόπιδας προτέρων ὕμνησαν ἀοιδοί;
Οὐδ' Ὀδυσεὺς, ἑκατόν τε καὶ εἴκατι μῆνας ἀλαθεὶς
Πάντας ἐπ' ἀνθρώπους, ἀΐδαν τ' εἰς ἔσχατον ἐλθὼν
Ζωὸς, καὶ σπήλυγγα φυγὼν ὀλοοῖο Κύκλωπος,
Δηναιὸν κλέος ἔσχεν. ἐσιγάθη δ' ἂν ὑφορβὸς
Εὔμαιος, καὶ βουσὶ Φιλοίτιος ἀμφ' ἀγελαίαις
Ἔργον ἔχων, αὐτός τε περίσπλαγχνος Λαέρτης·
Εἰ μὴ σφᾶς ὤνασαν Ἰάονος ἀνδρὸς ἀοιδαί.
Ἐκ μοισᾶν ἀγαθὸν κλέος ἔρχεται ἀνθρώποισι·
Χρήματα δὲ ζώοντες ἀμαλδύνουσι θανόντων.
Ἀλλ' ἶσος γὰρ ὁ μόχθος, ἐπ' ἀόνι κύματα μετρεῖν,
Ὅσσ' ἄνεμος χέρσονδε μετὰ γλαυκᾶς ἁλὸς ὠθεῖ,
Ἢ ὕδατι νίζειν θολερὰν ἰοειδέϊ πλίνθον·
Καὶ φιλοκερδείῃ βεβλαμμένον ἄνδρα παρελθεῖν.
Χαιρέτω ὅστις τοῖος· ἀνήριθμος δέ οἱ εἴη
Ἄργυρος· αἰεὶ δὲ πλεόνων ἔχοι ἵμερος αὐτόν·
Αὐτὰρ ἐγὼ τιμήν τε καὶ ἀνθρώπων φιλότητα
Πολλῶν ἡμιόνων τε καὶ ἵππων πρόσθεν ἑλοίμαν.
Δίζημαι δὲ τίνι θνατῶν κεχαρισμένος ἔνθω
Σὺν μοίσαις. χαλεπαὶ γὰρ ὁδοὶ τελέθουσιν ἀοιδᾶν
Μουσάων, ἀπάνευθε Διὸς μέγα βουλεύοντος.
Οὔπω μῆνας ἄγων ἔκαμ' οὐρανὸς οὐδ' ἐνιαυτούς·

Πολλοὶ κινήσουσιν ἔτι τροχὸν ἅρματος ἵπποι.
Εσσεται οὗτος ἀνὴρ ὃς ἐμοῦ κεχρήσετ' ἀοιδοῦ,
Ρέξας ἢ Αχιλλεὺς ὅσσον μέγας, ἢ βαρὺς Αἴας
Εν πεδίῳ Σιμόεντος, ὅθι Φρυγὸς ἠρίον Ιλου.
Ηδη νῦν Φοίνικες, ὑπ' ἠελίῳ δύνοντι
Οἰκεῦντες Λιβύας ἄκρον σφυρὸν, ἐρρίγασιν·
Ηδη βαστάζουσι Συρακόσιοι μέσσα δοῦρα,
Αχθόμενοι σακέεσσι βραχίονας ἰτεΐνοισιν.
Εν δ' αὐτοῖς Ιέρων, προτέροις ἶσος ἡρώεσσι,
Ζώννυται· ἵππειαι δὲ κόρυν σκεπάουσιν ἔθειραι.
Αἲ γὰρ Ζεῦ, κύδιστε πάτερ, καὶ πότνι' Αθάνα,
Κούρη θ' ἃ σὺν ματρὶ πολυκλήρων Εφυραίων
Εἴλαχας μέγα ἄστυ, παρ' ὕδασι Λυσιμελείας,
Εχθροὺς ἐκ νάσοιο κακαὶ πέμψειαν ἀνάγκαι
Σαρδόνιον κατὰ κῦμα, φίλων μόρον ἀγγελέοντας
Τέκνοις ἠδ' ἀλόχοισιν, ἀριθματοὺς ἀπὸ πολλῶν·
Αστεά τε προτέροισι πάλιν ναίοιντο πολίταις,
Δυσμενέων ὅσα χεῖρες ἐλωβήσαντο κατ' ἄκρας.
Αγροὺς δ' ἐργάζοιντο τεθαλότας· αἱ τ' ἀνάριθμοι
Μήλων χιλιάδες βοτάναις διαπιανθεῖσαι,
Αμπεδίον βλήχοιντο· βόες δ' ἀγεληδὸν ἐς αὖλιν
Ερχόμεναι σκιπναῖον ἐπισπεύδοιεν ὁδίταν·
Νειοὶ δ' ἐκπονέοιντο ποτὶ σπόρον, ἁνίκα τέττιξ
Ποιμένας ἐνδίους πεφυλαγμένος, ἔνδοθι δένδρων
Αχεῖ ἐν ἀκρεμόνεσσιν. ἀράχνια δ' εἰς ὅπλ' ἀράχναι
Λεπτὰ διαστήσαιντο, βοᾶς δ' ἔτι μηδ' ὄνομ' εἴη.
Υψηλὸν δ' Ιέρωνι κλέος φορέοιεν ἀοιδοὶ
Καὶ πόντου Σκυθικοῖο πέραν, καὶ ὅπη πλατὺ τεῖχος
Ασφάλτῳ δήσασα Σεμίραμις ἐμβασίλευεν.
Εἷς μὲν ἐγὼ, πολλοὺς δὲ Διὸς φιλέοντι καὶ ἄλλους
Θυγατέρες· τοῖς πᾶσι μέλοι Σικελὴν Αρέθοισαν

Υμνεῖν

Ὑμνεῖν σὺν λαοῖσι, καὶ αἰχμηταν Ἱέρωνα.
Ὦ Ἐτεόκλειοι Χάριτες θεαὶ, αἱ Μινύειον
Ὀρχομενὸν φιλέοισαι, ἀπεχθόμενόν ποτε Θήβαις,
Ἄκλητος μὲν ἐγὼ μίμνοιμί κεν· ἐς δὲ καλεύντων
Θαρσήσας Μοίσασι σὺν ἁμετέρησιν ἱκοίμαν·
Καλλείψω δ' οὐδ' ὔμμε. τί γὰρ Χαρίτων ἀγαπατὸν
Ἀνθρώποις ἀπάνευθεν; ἀεὶ Χαρίτεσσιν ἅμ' εἴην.

## ΥΠΟΘΕΣΙΣ.

Τοῦτο τὸ εἰδύλλιον εἰς Πτολεμαῖον τὸν Φιλάδελφον γέγραπται· Ἀρατείᾳ δὲ κέχρηται εἰσβολῇ. ὁ δὲ Φιλάδελφος Πτολεμαῖος, Πτολεμαίου τοῦ Λάγου καὶ Βερενίκης ἦν παῖς. διὸ καὶ ἁμαρτάνει ὁ Μύνατος, τοὺς χρόνους τοῦ Θεοκρίτου ἀναβιβάζων εἰς τὸν Φιλοπάτορα, τοσούτου χρόνου μαχόμενος διαστήματι.

# ΕΓΚΩΜΙΟΝ
## ΕΙΣ
# ΠΤΟΛΕΜΑΙΟΝ,
## Εἰδύλλιον ιζ'.

Ἐκ Διὸς ἀρχώμεσθα, καὶ εἰς Δία λήγετε Μοῖσαι,
Ἀθανάτων τὸν ἄριστον ἐπὴν ᾄδωμεν ἀοιδαῖς.
Ἀνδρῶν δ' αὖ Πτολεμαῖος ἐνὶ πρώτοισι λεγέσθω,
Καὶ πύματος, καὶ μέσσος· ὁ γὰρ προφερέστατος ἀνδρῶν.
Ἥρωες τοὶ πρόσθεν ἀφ' ἡμιθέων ἐγένοντο,
Ῥέξαντες καλὰ ἔργα, σοφῶν ἐκύρησαν ἀοιδῶν·
Αὐτὰρ ἐγὼ Πτολεμαῖον, ἐπιστάμενος καλὰ εἰπεῖν,
Ὑμνήσαιμ'. ὕμνοι δὲ, καὶ ἀθανάτων γέρας αὐτῶν.
Ἴδαν ἐς πολύδενδρον ἀνὴρ ὑλητόμος ἐλθὼν,
Παπταίνει παρεόντος ἅδην πόθεν ἄρξεται ἔργου·
Τί πρᾶτον καταλέξω; ἐπεὶ πάρα μυρία εἰπῆν,
Οἷσι θεοὶ τὸν ἄριστον ἐτίμησαν βασιλήων,
Ἐκ πατέρων. οἷος μὲν ἔην τελέσαι μέγα ἔργον
Ὁ Λαγίδας Πτολεμαῖος, ὅκα φρεσὶν ἐγκατάθοιτο
Βουλὰν ἂν οὐκ ἄλλος ἀνὴρ οἷός τε νοῆσαι;

Τῆνον

Τῆνον καὶ μακάρεσσι πατὴρ ὁμότιμον ἔθηκεν
Αθανάτοις, καί οἱ χρύσεος δόμος ἐν Διὸς οἴκῳ
Δέδμηται. παρὰ δ' αὐτὸν Αλέξανδρος φίλα εἰδὼς
Εδριάει, Πέρσαισι βαρὺς θεὸς αἰολομήτας.
Αντία δ' Ηρακλῆος ἕδρα σφιν ταυροφόνοιο
Ιδρυται, στερεοῖο τετυγμένα ἐξ ἀδάμαντος·
Ενθα σὺν ἄλλοισιν θαλίας ἔχει οὐρανίδῃσι,
Χαίρων υἱωνῶν περιώσιον υἱωνοῖσιν·
Οττι σφέων Κρονίδας μελέων ἐξείλετο γῆρας·
Αθάνατοι δὲ καλεῦνται, θεοὶ νέποδες γεγαῶτες·
Αμφοῖν γὰρ πρόγονός σφιν ὁ καρτερὸς Ηρακλείδας·
Αμφότεροι δ' ἀριθμεῦνται ἐς ἔσχατον Ηρακλῆα.
Τῷ καὶ ἐπεὶ δαίτηθεν ἴοι κεκορημένος ἤδη
Νέκταρος εὐόδμοιο φίλας ἐς δῶμ' ἀλόχοιο,
Τῷ μὲν τόξον ἔδωκεν ὑπωλένιόν τε φαρέτραν,
Τῷ δὲ σιδάρειον σκύταλον, κεχαραγμένον ὄζοις·
Οἱ δ' εἰς ἀμβρόσιον θάλαμον λευκοσφύρου Ηβας
Οπλα καὶ αὐτὸν ἄγουσι γενειήταν Διὸς υἱόν.
  Οἵα δ' ἐν πινυταῖσι περικλειτὰ Βερενίκα
Επρεπε θηλυτέρης, ὄφελος μέγα γειναμένοισι·
Τῆς μὲν Κύπρον ἔχοισα Διώνας πότνια κούρα
Κόλπον ἐς εὐώδη ῥαδινὰς ἐπεμάξατο χεῖρας·
Τῷ, οὔπω τινὰ φαντὶ ἁδεῖν τόσον ἀνδρὶ γυναῖκα
Οσσον περ Πτολεμαῖος ἑὴν ἐφίλασεν ἄκοιτιν·
Η μὰν ἀντεφιλεῖτο πολὺ πλέον. ὧδέ κε παισὶ
Θαρσήσας σφετέροισιν ἐπιτρέπει οἶκον ἅπαντα,
Οππότε κεν φιλέων βαίνει λέχος ἐς φιλεούσης.
Αστόργου δὲ γυναικὸς ἐπ' ἀλλοτρίῳ νόος αἰέν·
Ρηΐδιαι δὲ γοναί, τέκνα δ' οὔποτ' ἐοικότα πατρί.
Κάλλει ἀριστεύοισα θεάων πότν' Αφροδίτα,
Σοὶ τήνα μεμέλητο· σέθεν δ' ἕνεκεν Βερενίκα

Εὐειδὴς Αχέροντα πολύστονον οὐκ ἐπέρασεν·
Αλλά μιν ἁρπάξασα, πάροιθ᾽ ἐπὶ νᾶμα κατενθεῖν
Κυάνεον, καὶ στυγνὸν ἀεὶ πορθμῆα καμόντων,
Ες ναὸν κατέθηκας, ἑᾶς δ᾽ ἀπεδάσσαο τιμᾶς.
Πᾶσιν δ᾽ ἤπιος ἥδε βροτοῖς, μαλακοὺς μὲν ἔρωτας
Προσπνείει, κούφας δὲ διδοῖ ποθέοντι μερίμνας.
Αργεία κυάνοφρυ, σὺ λαοφόνον Διομήδεα,
Μισγομένα Τυδῆϊ, τέκες Καλυδώνιον ἄνδρα.
Αλλὰ Θέτις βαθύκολπος ἀκοντιστὰν Αχιλῆα
Αἰακίδᾳ Πηλῆϊ· σὲ δ᾽ αἰχμητὰ Πτολεμαῖε
Αἰχμητᾷ Πτολεμαίῳ ἀρίζηλος Βερενίκα.
Καί σε Κόως ἀτίταλλε, βρέφος νεογιλὸν ἐόντα,
Δεξαμένα παρὰ ματρὸς, ὅτε πρώταν ἴδες ἀῶ.
Ενθα γὰρ Εἰλείθυιαν ἐβώσατο λυσίζωνον,
Αντιγόνας θυγάτηρ βεβαρημένα ὠδίνεσσιν.
Η δέ οἱ εὐμενέουσα παρίστατο, κὰδ δ᾽ ἄρα πάντων
Νωδυνίαν κατέχευε μελῶν. ὁ δὲ, πατρὶ ἐοικὼς
Παῖς ἀγαπητὸς ἔγεντο. Κόως δ᾽ ὀλόλυξεν ἰδοῖσα·
Φᾶ δὲ, καθαπτομένα βρέφεος χείρεσσι φίλῃσιν,
Ολβιε κῶρε γένοιο· τίοις δέ με τόσσον ὅσον περ
Δῆλον ἐτίμασεν κυανάμπυκα Φοῖβος Απόλλων·
Εν δὲ μιᾷ τιμῇ Τρίοπος καταθεῖο κολώναν,
Ισον Δωριέεσσι νέμων γέρας ἐγγὺς ἐοῦσιν,
Ισον καὶ Ῥήναιαν ἄναξ ἐφίλασεν Απόλλων.
Ως ἄρα νᾶσος ἔειπεν· ὁ δ᾽ ὑψόθεν ἔκλαγε φωνᾷ
Ες τρὶς ὑπαὶ νεφέων Διὸς αἴσιος αἰετὸς ὄρνις.
Ζηνός που τόδε σῆμα. Διῒ Κρονίωνι μέληται
Αἰδοίου βασιλῆος· ὁ δ᾽ ἔξοχος ὅν κε φιλασεῖ
Γεινόμενον ταπρῶτα· πολὺς δέ οἱ ὄλβος ὀπηδεῖ,
Πολλᾶς δὲ κρατέει γαίης, πολλᾶς δὲ θαλάσσης.
Μυρίαι ἄπειροί τε, καὶ ἔθνεα μυρία φωτῶν

Λήϊον ἀλδήσκουσιν ὀφελλόμενον Διὸς ὄμβρῳ·
Ἀλλ' οὔτις τόσα φύει ὅσα χθαμαλὸς Αἴγυπτος,
Νεῖλος ἀναβλύζων διερὰν ὅτε βώλακα θρύπτει.
Οὐ δέ τις ἄστεα τόσσα βροτῶν ἔχει ἔργα δαέντων.
Τρεῖς μέν οἱ πολίων ἑκατοντάδες ἐνδέδμηνται,
Τρεῖς δ' ἄρα χιλιάδες τρισσαῖς ἐπὶ μυριάδεσσι,
Δοιαὶ δὲ τριάδες, μετὰ δέ σφισιν ἐνδεκάδες τρεῖς·
Τῶν πάντων Πτολεμαῖος ἀγάνωρ ἐμβασιλεύει.
Καὶ μὴν Φοινίκας ἀποτέμνεται, Ἀρραβίας τε,
Καὶ Συρίης, Λιβύης τε, κελαινῶν τ' Αἰθιοπήων·
Παμφυλίοισί τε πᾶσι καὶ αἰχμηταῖς Κιλίκεσσι
Σημαίνει, Λυκίοις τε φιλοπτολέμοις τε Κάρεσσι,
Καὶ νάσοις Κυκλάδεσσιν. ἐπεί οἱ νᾶες ἄρισται
Πόντον ἐπιπλώοντι· θάλασσα δὲ πᾶσα καὶ αἶα
Καὶ ποταμοὶ κελάδοντες ἀνάσσονται Πτολεμαίῳ·
Πολλοὶ δ' ἱππῆες, πολλοὶ δέ οἱ ἀσπιδιῶται
Χαλκῷ μαρμαίροντι σεσαγμένοι ἀσφαραγεῦντι.
Ὄλβῳ μὲν πάντας καταβρίθει βασιλῆας·
Τόσσον ἐπ' ἆμαρ ἕκαστον ἐς ἀφνεὸν ἔρχεται οἶκον
Πάντοθε. λαοὶ δ' ἔργα περιστέλλουσιν ἕκηλοι.
Οὐ γάρ τις δηΐων πολυκήτεα Νεῖλον ἐπεμβὰς,
Πεζὸς ἐν ἀλλοτρίαισι βοὰν ἐστάσατο κώμαις·
Οὐ δέ τις αἰγιαλόνδε θοᾶς ἐξάλατο ναὸς,
Θωρηχθεὶς ἐπὶ βουσὶν ἀνάρσιος Αἰγυπτίῃσιν.
Τοῖος ἀνὴρ πλατέεσσιν ἐνίδρυται πεδίοισι,
Ξανθοκόμος Πτολεμαῖος, ἐπιστάμενος δόρυ πάλλειν·
Ὧ ἔπι πάγχυ μέλει πατρώϊα πάντα φυλάσσειν,
Οἷ' ἀγαθῷ βασιλῆϊ· τὰ δὲ κτεατίζεται αὐτός.
Οὐ μὰν ἀχρεῖός γε δόμῳ ἐνὶ πίονι χρυσὸς,
Μυρμάκων ἅτε πλοῦτος ἀεὶ κέχυται μογεόντων·
Ἀλλὰ πολὺν μὲν ἔχοντι θεῶν ἐρικυδέες οἶκοι,

Αἰεὶ ἀπαρχομένοιο, σὺν ἄλλοισιν γεραέσσι·
Πολλὸν δὲ ἰφθίμοισι δεδώρηται βασιλεῦσι,
Πολλὸν δὲ πτολίεσσι, πολὺν δ' ἀγαθοῖσιν ἑταίροις.
Οὐδὲ Διωνύσου τις ἀνὴρ ἱερὸς κατ' ἀγῶνας
Ικετ' ἐπιστάμενος λιγυρὰν ἀναμέλψαι ἀοιδὰν,
Ω οὐ δωτίναν ἀντάξιον ὤπασε τέχνας.
Μουσάων δ' ὑποφῆται ἀείδοντι Πτολεμαῖον
Αντ' εὐεργεσίης. τί δὲ κάλλιον ἀνδρί κεν εἴη
Ολβίῳ, ἢ κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἀρέσθαι;
Τοῦτο καὶ Ατρείδαισι μένει· τὰ δὲ μύρια τῆνα
Οσσα μέγαν Πριάμοιο δόμον κτεάτισσαν ἑλόντες,
Αέρι πᾳ κεκρύπται, ὅθεν πάλιν οὐκέτι νόστος.
Μοῦνος ὅδε προτέρων τοκέων ἔτι θερμὰ κονίη,
Στειβομένος καθύπερθε, ποδῶν ἐκμάσσεται ἴχνη.
Μητρὶ φίλᾳ καὶ πατρὶ θυώδεας εἵσατο νηώς·
Εν δ' αὐτοὺς χρυσῷ περικαλλέας ἠδ' ἐλέφαντι
Ιδρυσεν, πάντεσσιν ἐπιχθονίοισιν ἀρωγούς.
Πολλὰ δὲ πιανθέντα βοῶν ἐπὶ μηρία καίει
Μασὶ περιπλομένοισιν, ἐρευθομένων ἐπὶ βωμῶν,
Αὐτός τ', ἰφθίμα τ' ἄλοχος· τᾶς οὔτις ἀρείω
Νυμφίον ἐν μεγάροισι γυνὰ περιβάλλετ' ἀγοστῷ,
Εκ θυμοῦ στέργοισα κασίγνητόν τε πόσιν τε.
Ωδε καὶ ἀθανάτων ἱερὸς γάμος ἐξετελέσθη,
Οὓς τέκετο κρείουσα Ρέα βασιλῆας ὀλύμπου·
Εν δὲ λέχος στόρνυσιν ἰαύειν Ζηνὶ καὶ Ηρῃ,
Χεῖρας φοιβήσασα μύροις, ἔτι παρθένος Ιρις.
  Χαῖρ' ὦναξ Πτολεμαῖε· σέθεν δ' ἐγὼ ἶσα καὶ ἄλλων
Μνάσομαι ἡμιθέων· δοκέω δ' ἔπος οὐκ ἀπόβλητον
Φθέγξομαι ἐσσομένοις. ἀρετήν γε μὲν ἐκ Διὸς αἰτεῦ.

## ARGUMENTUM.

Inſcribitur hoc Idyllion Epithalamion Helenae, id eſt, carmen nuptiale. introducuntur autem duodecim primariae puellae ex urbe Spartana, quae in die nuptiarum veſpere ante thalamum Menelai et Helenae ſponſae hoc carmen canere finguntur. primum autem jocis nuptialibus ludunt: deinde ſponſo gratulantur, quod ſolus inter tot principes procos nuptiis talis ſponſae potitus, et jam Jovis gener factus ſit. poſtea Helenam laudant, atque in eo loco nonnihil immoratur Poëta. in fine, ſicut fieri ſolet, bene precantur ſponſo et ſponſae. erant autem duo genera Epithalamiorum: alterum accinere ſolebant veſpere; cum ſponſa in thalamum duceretur: quod κατακοιμητικὸν vocabant: alterum mane ſub aurora canebatur; idque διεγερτικὸν, i. e. excitatorium, vocabatur.

# ΕΛΕΝΗΣ ΕΠΙΘΑΛΑΜΙΟΣ,

## Εἰδύλλιον ιη΄.

ΕΝ ποκ' ἄρα Σπάρτᾳ, ξανθότριχι πὰρ Μενελάῳ,
Παρθενικαὶ θάλλοντα κόμαις ὑάκινθον ἔχοισαι,
Πρόσθε νεογράπτω θαλάμω χορὸν ἐστάσαντο,
Δώδεκα ταὶ πρᾶται πόλιος, μέγα χρῆμα Λακαινᾶν,
Ανίκα Τυνδάρεω κατεκλάξατο τὰν ἀγαπατὰν
Μναστήσας Ελέναν ὁ νεώτερος Ατρέος υἱός.
Αειδον δ' ἄρα πᾶσαι ἐς ἓν μέλος ἐγκροτέοισαι
Ποσσὶ περιπλέκτοις, περὶ δ' ἴαχε δῶμ' ὑμεναίῳ.
Οὕτω δὴ πρῴϊζα κατέδραθες ὦ φίλε γαμβρέ;
Η ῥά τις ἐσσὶ λίαν βαρυγούνατος; ἢ ῥα φίλυπνος;
Η ῥα πολύν τιν' ἔπινες, ὅτ' εἰς εὐνὰν κατεβάλλευ;

Εὕδειν

Εὕδειν μὲν χρήζοντα, καθ' ὥραν αὐτὸν ἐχρῆν τύ,
Παῖδα δ' ἐᾶν σὺν παισὶ φιλοστόργῳ παρὰ ματρὶ
Παίσδειν ἐς βαθὺν ὄρθρον. ἐπεὶ καὶ ἔναν, καὶ ἐς ἀῶ,
Κεἰς ἔτος ἐξ ἔτεος Μενέλαε τεὰ νυὸς ἅδε.
Ὄλβιε γάμβρ', ἀγαθός τις ἐπέπταρεν ἐρχομένῳ τοι
Ἐς Σπάρταν, ὅποι ὦλλοι ἀριστέες, ὡς ἀνύσαιο.
Μῶνος ἐν ἀμιθέοις Κρονίδαν Δία πενθερὸν ἑξεῖς.
Ζανός τοι θυγάτηρ ὑπὸ τὰν μίαν ὤχετο χλαῖναν,
Οἵα Ἀχαιϊάδων γαῖαν πατεῖ οὐδεμί' ἄλλα.
Ἦ μέγα τοί κε τέκοιτ', εἰ ματέρι τίκτεν ὁμοῖον.
Ἄμμες γὰρ πᾶσαι συνομάλικες, αἷς δρόμος ωὑτὸς,
Χρισαμέναις ἀνδριστὶ παρ' Εὐρώταο λοετροῖς,
Τετράκις ἑξήκοντα κόραι, θῆλυς νεολαία·
Τᾶν οὐδ' ἄν τις ἄμωμος, ἐπεί χ' Ἑλένᾳ παρισωθῇ.
Ἀὼς ἀντέλλοισα καλὸν διέφαινε πρόσωπον,
Πότνια νὺξ ἅτε, λευκὸν ἔαρ χειμῶνος ἀνέντος·
Ὧδε καὶ ἁ χρυσέα Ἑλένα διεφαίνετ' ἐν ἡμῖν,
Πιείρη, μεγάλη. ἅτ' ἀνέδραμεν ὄγμος ἀρούρᾳ,
Ἢ κάπῳ κυπάρισσος, ἢ ἅρματι Θεσσαλὸς ἵππος·
Ὧδε καὶ ἁ ῥοδόχρως Ἑλένα Λακεδαίμονι κόσμος.
Οὔ τέ τις ἐν ταλάρῳ πανίσδεται ἔργα τοιαῦτα,
Οὔτ' ἐνὶ δαιδαλέῳ πυκινώτερον ἤτριον ἱστῷ
Κερκίδι συμπλέξασα μακρῶν ἔταμ' ἐκκαλεόντων.
Οὐ μὰν οὐ κιθάραν τίς ἐπίσταται ὧδε κροτῆσαι,
Ἄρτεμιν ἀείδοισα καὶ εὐρύστερνον Ἀθάναν,
Ὡς Ἑλένα· τᾶς πάντες ἐπ' ὄμμασιν ἵμεροι ἐντί.
Ὦ καλὰ, ὦ χαρίεσσα κόρη, τὺ μὲν οἰκέτις ἤδη·
Ἄμμες δ' ἐς δρόμον ἦρι καὶ ἐς λειμώνια φύλλα
Ἐρψοῦμες, στεφάνως δρεψεύμεναι ἁδὺ πνέοντας·
Πολλὰ τεῦ ὦ Ἑλένα μεμναμέναι, ὡς γαλαθηναὶ
Ἄρνες γειναμένας ὄιος μαστὸν ποθέοισαι·

Πρᾶται

Πρᾶται τοι στέφανον λωτῶ χαμαὶ αὐξομένοιο
Πλέξασαι, σκιερὰν καταθήσομεν ἐς πλατάνιστον·
Πρᾶται δ' ἀργυρέας ἐξ ὄλπιδος ὑγρὸν ἄλειφαρ
Λαζόμεναι, σταξεῦμες ὑπὸ σκιερὰν πλατάνιστον.
Γράμματα δ' ἐν φλοιῷ γεγράψεται (ὡς παριών τις
Αγνοίη) Δωριστὶ, Σέβου μ'· Ελένας φυτὸν εἰμί.
Χαίροις ὦ νύμφα, χαίροις εὐπένθερε γαμβρέ.
Λατὼ μὲν δοίη Λατὼ κουροτρόφος ὔμμιν
Εὐτεκνίην, Κύπρις δὲ θεὰ Κύπρις ἶσον ἔρασθαι
Αλλάλων· Ζεὺς δὲ Κρονίδας Ζεὺς ἄφθιτον ὄλβον,
Ως ἐξ εὐπατριδᾶν εἰς εὐπατρίδας πάλιν ἔνθῃ.
Εὕδετ' ἐς ἀλλάλων στέρνον φιλότητα πνέοντες
Καὶ πόθον. ἔγρεσθε δὲ πρὸς ἀῶ· μή τι λάθησθε.
Νεύμεθα κἀμμες ἐς ὄρθρον, ἐπεί κα πρᾶτος ἀοιδὸς
Ἐξ εὐνᾶς κελαδήσῃ ἀναχὼν εὔτριχα δειρήν.
Ὑμὰν, ὦ Ὑμέναιε, γάμῳ ἐπὶ τῷ δὲ χαρείης.

## ARGUMENTUM.

Cupido dum mel furatur, et alveare diripit, ab apicula pungitur: atque doloris ex vulnere impatiens, matri de crudelitate tam parvae bestiolae conqueritur. quae et ipsum parvulum esse respondet, et tamen magna vulnera infligere. monet vero nos haec imago, quod voluptati dolor et calamitas plerumque comes est: sicut dictum est,

Dulcia sic tristi semper sunt mixta dolore,
Tincta voluptatis gaudia felle nocent.

Et Horatius ait:

— Nocet empta dolore voluptas.

# ΚΗΡΙΟΚΛΕΠΤΗΣ,

## Εἰδύλλιον ιθ'.

Τὸν κλέπταν ποτ' Ἔρωτα κακὰ κέντασε μέλισσα,
Κηρίον ἐκ σίμβλων συλεύμενον. ἄκρα δὲ χειρῶν
Δάκτυλα πάνθ' ὑπένυξεν. ὁ δ' ἄλγεε, ϗ χέρ' ἐφύσῃ·
Καὶ τὰν γᾶν ἐπάταξε, ϗ ἅλατο. τᾷ δ' Ἀφροδίτᾳ
Δεῖξεν τὰν ὀδύναν, ϗ μέμφετο ὅττιγε τυτθὸν
Θηρίον ἐντὶ μέλισσα, ϗ ἁλίκα τραύματα ποιεῖ.
Χὰ μάτηρ γελάσασα, τὺ δ' οὐκ ἴσος ἐσσὶ μελίσσαις;
Χὼ τυτθὸς μὲν ἔης, τὰ δὲ τραύματα ἁλίκα ποιεῖς;

## ARGUMENTUM.

Paſtor quidam, qui inter ruricolas ſuos eximie pulcher ſibi videbatur, in urbem venit. ubi cum conſpicatus fuiſſet puellam urbanam, inuſitata forma perculſus ad eam acceſſit, et ruſtice cum ea ludere, eamque oſculari voluit. illa vero hominis habitum ac mores ruſticos deteſtata, a ſe illum rejecit. conqueritur ergo miſer in hoc Idyllio, de inſigni contumelia qua affectus ſit, deque faſtu ac ſuperbia urbanae puellae. atque in fine commemorat etiam Dearum exempla, quae paſtorum amore arſerint. videtur Poëta perſtringere hoc Idyllio aliquos Bucolici carminis contemptores, qui forte ſua quadam protervia tumentes, haec ut pueriles nugas deriſerunt: ut ſunt aliqui ingenio nimium faſtidioſo ac ſuperbo, quibus nihil pulchrum eſt, niſi quod ipſi judicio ſuo comprobaverint.

# ΒΟΥΚΟΛΙΣΚΟΣ,

## Εἰδύλλιον κ'.

ΕΥνίκα μ' ἐγέλαξε θέλοντά μιν ἀδὺ φιλᾶσαι·
Καί μ' ἐπικερτομέοισα, τάδ' ἔννεπεν, Ἔρρ' ἀπ' ἐμεῖο.
Βωκόλος ὢν ἐθέλεις με κύσαι τάλαν; οὐ μεμάθηκα
Ἀγροίκως φιλέειν, ἀλλ' ἀστικὰ χείλεα θλίβειν.
Μὴ τύ γέ μευ κύσῃς τὸ καλὸν στόμα, μηδ' ἐν ὀνείροις.
Οἷα βλέπεις, ὁπποῖα λαλεῖς, ὡς ἄγρια παίσδεις·
Ὡς τρυφερὸν λαλέεις, ὡς κωτίλα ῥήματα φράσδεις·
Ὡς μαλακὸν τὸ γένειον ἔχεις, ὡς ἁδέα χαίταν.
Χείλεά τοι νοσέοντι, χέρες δέ τοι ἐντὶ μέλαιναι·
Καὶ κακὸν ἐξόσδεις. ἀπ' ἐμεῦ φύγε, μή με μολύνῃς.

Τοιάδε μυθίζοισα, τρὶς εἰς ἑὸν ἔπτυσε κόλπον,
Καί μ' ἀπὸ τᾶς κεφαλᾶς ποτὶ τὼ πόδε συνεχὲς εἶδεν,
Χείλεσι μυθίζοισα, καὶ ὄμμασι λοξὰ βλέποισα·
Καὶ πολὺ τᾷ μορφᾷ θηλύνετο, καί τι σεσαρὸς
Καὶ σοβαρόν μ' ἐγέλαξεν. ἐμοὶ δ' ἄφαρ ἔζεσεν αἷμα,
Καὶ χρόα φοινίχθην ὑπὸ τὤλγεος, ὡς ῥόδον ἔρσᾳ.
Χὰ μὲν ἔβα με λιποῖσα· φέρω δ' ὑποκάρδιον ὀργὰν
Ὅττι με τὸν χαρίεντα κακὰ μωμήσαθ' ἑταίρα.
Ποιμένες εἴπατέ μοι τὸ κρήγυον· οὐ καλὸς ἐμμί;
Ἆρά τις ἐξαπίνας με θεὸς βροτὸν ἄλλον ἔτευξε;
Καὶ γὰρ ἐμοὶ τοπάροιθεν ἐπάνθεεν ἁδύ τι κάλλος
Ὡς κισσὸς ποτὶ πρέμνον, ἐμὰν δ' ἐπύκαζεν ὑπήναν·
Χαῖται δ' οἷα σέλινα περὶ κροτάφοισι κέχυντο·
Καὶ λευκὸν τὸ μέτωπον ἐπ' ὀφρύσι λάμπε μελαίναις·
Ὄμματά μοι δ' ἄρ' ἔην χαροπώτερα πολλὸν Ἀθάνας·
Τὸ στόμα καὶ πακτᾶς γλυκερώτερον· ἐκ στομάτων δὲ
Ἐῤῥεέ μοι φωνὰ γλυκερωτέρα ἢ μελικήρω.
Ἁδὺ δέ μοι τὸ μέλισμα, καὶ ἢν σύριγγι μελίσδω,
Κἢν αὐλῷ λαλέω, κἢν δώνακι, κἢν πλαγιαύλῳ.
Καὶ πᾶσαι καλόν με κατ' ὤρεα φαντὶ γυναῖκες,
Καὶ πᾶσαί με φιλεῦντι· τὰ δ' ἀστυκά μ' οὐκ ἐφίλασεν,
Ἀλλ' ὅτι βωκόλος ἐμμὶ παρέδραμε· κ' οὔποτ' ἀκούει
Ὡς καλὸς Διόνυσος ἐπ' ἄγκεσι πόρτιν ἐλαύνει·
Οὐκ ἔγνω δ' ὅτι Κύπρις ἐπ' ἀνέρι μήνατο βούτᾳ,
Καὶ Φρυγίης ἐνόμευσεν ἐν ὤρεσιν· αὐτὸν Ἄδωνιν
Ἐν δρυμοῖσι φίλασε, καὶ ἐν δρυμοῖσιν ἔκλαυσεν.
Ἐνδυμίων δὲ τίς ἦν; οὐ βωκόλος; ὅντε Σελάνα
Βουκολέοντα φίλασεν· ἀπ' οὐλύμπω δὲ μολοῖσα
Λάτμιον ἂν νάπος ἦλθε, καὶ εἰς ἕνα παιδὶ κάθευδε.
Καὶ τὺ Ῥέα κλαίεις τὸν βωκόλον· οὐχὶ δὲ καὶ τὺ
Ὦ Κρονίδα διὰ παῖδα βοηνόμον αὐτὸς ἐπλάγχθης;

Εὐνίκα

Εὐνίκα δὲ μόνα τὸν βωκόλον ὐκ ἐφίλασεν,
Α Κυβέλας κρέοσων ϗ Κύπριδος, ἅτε Σελάνας·
Μηκέτι μηδὲ σὺ Κύπρι τὸν ἀδέα μήτε κατ᾽ ἄϛυ
Μήτ᾽ ἐν ὄρει φιλέοις, μώνη δ᾽ ἀνὰ νύκτα καθεύδοις.

## ARGUMENTUM.

Monet hoc Idyllion ut sua quisque sorte contentus vivat: et sub imagine somnii de aureo pisce, vanas hominum spes ac cupiditates venustissime depingit. nam quum piscatores duo sub noctem ad capturam piscium domo exissent, ac in paupere tugurio ante mediam noctem una dormirent, alter eorum somniat se grandem aureum piscem cepisse. ingenti gaudio affectus jurat in somnis, nunquam se amplius piscibus capiendis operam daturum, verum de aureo illo pisce, in otio et luxu posthac suaviter victurum. mane quum aureus ille piscis et spes ipsa avolasset, neque esset exporrecto unde victitaret, nisi et ipse et uxor ac liberi fame perire vellent, vel invitus, et contra quam juraverat in somnis, ad consuetos labores redire cogitur. apparet Theocritum Aegyptiis suis, apud quos fuit, hanc fabulam cecinisse: qui quum plerique essent piscatores, atque homines otio dediti, ad laborem non facile nisi inopia et necessitate perpelli poterant: nec faciebant officium donec esset unde victitarent.

# ΑΛΙΕΙΣ,

## Εἰδύλλιον κα΄.

Α Πενία, Διόφαντε, μόνα τὰς τέχνας ἐγείρει·
Αὐτὰ τῶ μόχθοιο διδάσκαλος· οὐδὲ γὰρ εὕδειν
Ανδράσιν ἐργατίναισι κακαὶ παρέχοντι μέριμναι.
Κἂν ὀλίγον νυκτός τις ἐπιψαύσῃσι τὸν ὕπνον,
Αἰφνίδιον θορυβεῦσιν ἐφιστάμεναι μελεδῶναι.
Ιχθύος ἀγρευτῆρες ὁμῶς δύο κεῖντο γέροντες,
Στρωσάμενοι βρύον αὖον ὑπὸ πλεκταῖς καλύβαισι,

Κεκ-

Κεκλιμένοι τοίχῳ τῷ φυλλίνῳ. ἐγγύθι δ' αὐτοῖν
Κεῖτο τὰ ταῖν χειροῖν ἀθλήματα, τοὶ καλαθίσκοι,
Τοὶ κάλαμοι, τὤγκιστρα, τὰ φυκιόεντά τε λῆδα,
Ορμειαὶ, κύρτοι, καὶ ἐκ σχοίνων λαβύρινθοι,
Μήρινθοι, κῶάς τε, γέρων δ' ἐπ' ἐρείσμασι λέμβος·
Νέρθεν τᾶς κεφαλᾶς φορμὸς βραχὺς, εἵματα, πῖλοι.
Οὗτος τοῖς ἀλιεῦσιν ὁ πᾶς πόνος, οὗτος ὁ πλοῦτος.
Οὐδεὶς δ' οὐ χύτραν εἶχ', οὐ κύνα· πάντα περισσὰ,
Πάντ' ἐδόκει τήνας ἄγρας· πενία σφιν ἑταίρα.
Οὐδεὶς δ' ἐν μέσσῳ γείτων, παντᾶ δὲ παρ' αὐτὴν
Θλιβομέναν καλύβαν τρυφερὸν προσέναχε θάλασσα.
Οὔπω τὸν μέσατον δρόμον ἄνυεν ἅρμα σελάνας,
Τοὺς δ' ἀλιεῖς ἤγειρε φίλος πόνος· ἐκ βλεφάρων δὲ
Υπνον ἀπωσάμενοι σφετέραις φρεσὶν ἤρεθον ᾠδάν.
α. Ψεύδονται φίλε πάντες ὅσοι τὰς νύκτας ἔφασκον
Τῶ θέρεος μινύθειν, ὅτε τἄματα μακρὰ φέρει Ζεύς·
Ηδη μυρί' ἐσεῖδον ὀνείρατα, κοὐδέπω ἀώς.
Μὴ λαθόμην; τί τὸ χρῆμα; χρόνον δ' αἱ νύκτες ἔχοντι.
β. Ασφαλίων, μέμφῃ τὸ καλὸν θέρος· οὐ γὰρ ὁ καιρὸς
Αὐτομάτως παρέβα τὸν ἑὸν δρόμον· ἀλλὰ τὸν ὕπνον
Α φροντὶς κόπτοισα, μακρὰν τὰν νύκτα ποιεῖ τιν.
α. Αρ' ἔμαθες κρίνειν ποκ' ἐνύπνια; χρηστὰ γὰρ εἶδον·
Οὔ σε θέλω τὠμῶ φαντάσματος ἦμεν ἄμοιρον·
Ως καὶ τὰν ἄγραν, τὠνείρατα πάντα μερίζεν.
Οὐ γὰρ νικαξῇ κατὰ τὸν νόον. οὗτος ἄριστος
Εστὶν ὀνειροκρίτας, ὁ διδάσκαλός ἐστι παρ' ᾧ νοῦς.
Αλλως καὶ σχολή ἐστι. τί γὰρ ποιεῖν ἂν ἔχοι τις
Κείμενος ἐν φύλλοις ποτὶ κύματι, μηδὲ καθεύδων
Ασμενος ἐν ῥάμνῳ; τὸ δὲ λύχνιον ἐν πρυτανείῳ·
Φαντὶ γὰρ αἰὲν ἄγραν τόδ' ἔχειν. β. Λέγε μοι ποτὲ νυκτὸς
Οψιν, πάντα τεῷ δὲ λέγων μήνυσον ἑταίρῳ.

α. Δει-

α. Δειλινὸν ὡς κατέδαρθον ἐν εἰναλίοισι πόνοισιν,
(Οὐκ ἦν μὰν πολύσιτος· ἐπεὶ δειπνεῦντες ἐν ὥρᾳ,
Εἰ μέμνῃ, τᾶς γαστρὸς ἐφειδόμεθ᾽) εἶδον ἐμαυτὸν
Ἐν πέτρᾳ μεμαῶτα· καθεζόμενος δὲ δόκευον
Ἰχθύας, ἐκ καλάμων δὲ πλάνον κατέσειον ἐδωδάν.
Καί τις τῶν τραφερῶν ὠρέξατο. καὶ γὰρ ἐν ὕπνοις
Πᾶσα κύων ἄρτως μαντεύεται· ἰχθύα κἠγών.
Χὼ μὲν τἀγκίστρῳ ποτεφύετο, καὶ ῥέεν αἷμα·
Τὸν κάλαμον δ᾽ ὑπὸ τῶ κινήματος ἀγκύλον εἶχον.
Τὼ χέρε τεινόμενος, περὶ κνώδαλον εὖρον ἀγῶνα,
Πῶς μὲν ἕλω μέγαν ἰχθὺν ἀφαυροτέροισι σιδάροις.
Εἶθ᾽ ὑπομιμνάσκων τῶ τραύματος, ἆρ᾽ ἐμὲ νύξεις;
Καὶ νύξῃ χαλεπῶς. καὶ οὐ φεύγοντος ἔτεινα.
Ἤνυσ᾽ ἰδὼν τὸν ἄεθλον· ἀνήλκυσα χρύσεον ἰχθύν,
Παντᾷ τῷ χρυσῷ πεπυκασμένον. εἶχε δὲ δεῖμα
Μή τι Ποσειδάωνι πέλοι πεφιλαμένος ἰχθύς,
Ἢ τάχα τᾶς γλαυκᾶς κειμήλιον Ἀμφιτρίτης.
Ἠρέμα δ᾽ αὐτὸν ἐγὼ ἐκ τὠγκίστρω ἀπέλυσα,
Μή ποτε τῶ στόματος τἀγκίστρια χρυσὸν ἔχοιεν.
Καὶ τὸν μὲν πεισμῆρσι κατῆγον ἐπ᾽ ἠπείροιο·
Ὤμοσα δ᾽ οὐκέτι λοιπὸν ὑπὲρ πελάγευς πόδα θεῖναι,
Ἀλλὰ μένειν ἐπὶ γᾶς, καὶ τῷ χρυσῷ βασιλεύειν.
Ταῦτά με κἀξήγειρε· τὺ δ᾽ ὦ ξένε λοιπὸν ἔρειδε
Τὰν γνώμαν· ὅρκον γὰρ ἐγὼ τὸν ἐπώμοσα ταρβῶ.
β. Καὶ σύ γε μὴ τρέσσῃς· οὐκ ὤμοσας· οὐδὲ γὰρ ἰχθὺν
Χρύσεον εἶδες ἢ εὗρες· ἴσα δὲ ψεύδεσιν ὄψεις.
Εἰ δ᾽ ὕπαρ, οὐ κνώσσων τὺ τὰ χωρία ταῦτα ματεύσεις,
Ἐλπὶς τῶν ὕπνων ζατεῖ τὸν σάρκινον ἰχθύν·
Μὴ σὺ θάνῃς λιμῷ, καίτοι χρυσοῖσιν ὀνείροις.

ΑΡ.

## ARGUMENTUM.

Pugnam inter Pollucem et Amycum Bebryciorum principem commemorat. Amycus, cum robore corporis, et arte pugilum ſuperaret omnes, crudelem tulit legem: ne quis hoſpes qui ea loca adiiſſet, inde diſcederet, quin prius ſecum caeſtu decertaret. at cum ita multos hoſpites interfeciſſet, tandem et Pollucem, qui cum Argonautis eo venerat, ſecum decertare cogit; a quo et victus eſt.

# ΔΙΟΣΚΟΥΡΟΙ,

## Εἰδύλλιον κβ'.

Υμνέομες Λήδας τε καὶ αἰγιόχω Διὸς υἱὼ,
Κάστορα καὶ φοβερὸν Πολυδεύκεα πὺξ ἐρεθίζειν,
Χεῖρας ἐπιζεύξαντα μέσοις βοέοισιν ἱμᾶσιν.
Υμνέομες καὶ δὶς καὶ τὸ τρίτον ἄρσενα τέκνα
Κούρης Θεστιάδος, Λακεδαιμονίους δύ' ἀδελφοὺς,
Ανθρώπων σωτῆρας ἐπὶ ξυροῦ ἤδη ἐόντων,
Ιππων θ' αἱματόεντα ταρασσομένων καθ' ὅμιλον,
Ναῶν θ' αἳ δύνοντα καὶ οὐρανοῦ ἐξανιόντα
Αστρα βιαζόμεναι, χαλεποῖς ἐνέκυρσαν ἀήταις·
Οἱ δὲ, σφέων κατὰ πρύμναν ἀείραντες μέγα κῦμα,
Ηὲ καὶ ἐκ πρώραθεν, ἢ ὅππα θυμὸς ἑκάστου,
Εἰς κοίλαν ἔρριψαν, ἀνέρρηξαν δ' ἄρα τοίχους
Αμφοτέρους· κρέμαται δὲ σὺν ἱστίῳ ἄρμενα πάντα,
Εἰκῆ ἀποκλασθέντα· πολὺς δ' ἐξ οὐρανοῦ ὄμβρος
Νυκτὸς ἐφερπύσας· παταγεῖ δ' εὐρεῖα θάλασσα,
Κοπτομένη πνοιαῖς τε καὶ ἀῤῥήκτοισι χαλάζαις.

Αλλ' ἔμπης ὑμεῖς τε καὶ ἐκ βυθοῦ ἕλκετε νᾶας
Αὐτοῖσιν ναύταισιν ὀϊομένοις θανέεσθαι.
Αἶψα δ' ἀπολήγοντ' ἄνεμοι, λιπαρὰ δὲ γαλάνα
Αμπέλαγος· νεφέλαι δὲ διέδραμον ἄλλυδις ἄλλαι·
Εκ δ' ἄρκτοι τ' ἐφάνησαν, ὄνων τ' ἀνὰ μέσσον ἀμαυρὴ
Φάτνη, σημαίνοισα τὰ πρὸς πλόον εὔδια πάντα.
Ω ἄμφω θνατοῖσι βοηθόοι, ὦ φίλοι ἄμφω,
Ιππῆες, κιθαρισταὶ, ἀεθλητῆρες, ἀοιδοί·
Κάστορος ἢ πρώτου Πολυδεύκεος ἄρξομ' ἀείδειν;
Αμφοτέρους ὑμνέων, Πολυδεύκεα πρῶτον ἀείσω.
Η μὲν ἄρα προφυγοῦσα πέτρας εἰς ἓν ξυνιούσας
Αργὼ, καὶ νιφόεντος ἀταρτηρὸν στόμα Πόντου,
Βέβρυκας εἰσαφίκανε, θεῶν φίλα τέκνα φέροισα·
Ενθα μιᾶς πολλοὶ κατὰ κλίμακος ἀμφοτέρων ἐκ
Τοίχων ἄνδρες ἔβαινον Ιησονίης ἀπὸ νηός.
Εκβάντες δ' ἐπὶ θῖνα βαθὺν, καὶ ὑπήνεμον ἀκτὴν
Εὐνάς τ' ἐστόρνυντο, πυρειά τε χερσὶν ἐνώμων.
Κάστωρ δ' αἰολόπωλος ὅ, τ' οἰνωπὸς Πολυδεύκης,
Αμφω ἐρημάζεσκον, ἀποπλαγχθέντες ἑταίρων.
Παντοίην δ' ἐν ὄρει θηεύμενοι ἄγριον ὕλην,
Εὗρον ἀέναον κράναν ὑπὸ λισσάδι πέτρῃ
Υδατι πεπληθυῖαν ἀκηράτῳ· αἱ δ' ὑπένερθεν
Αλλαι κρυστάλλῳ ἠδ' ἀργύρῳ ἰνδάλλοντο
Εκ βυθοῦ. ὑψηλαὶ δὲ πεφύκεσαν ἀγχόθι πεῦκαι,
Λεῦκαί τ', πλάτανοί τε, καὶ ἀκρόκομοι κυπάρισσοι,
Ανθεά τ' εὐώδη, λασίαις φίλα ἔργα μελίσσαις,
Οσσ' ἔαρος λήγοντος ἐπιβρύει ἂν λειμῶνας.
Ενθα δ' ἀνὴρ ὑπέροπλος ἐνήμενος ἐνδιάασκε,
Δεινὸς ἰδεῖν, σκληραῖσι τεθλασμένος οὔατα πυγμαῖς·
Στήθεα δ' ἐσφαίρωτο πελώρια, καὶ πλατὺ νῶτον,
Σαρκὶ σιδαρείῃ, σφυρήλατος οἷα κολοσσός·

Εν

Εν δὲ μύες στερεοῖσι βραχίοσιν ἄκρον ὑπ' ὦμον
Εστασαν, ἠΰτε πέτροι ὀλοίτροχοι, οὕστε κυλίνδων
Χειμάῤῥους ποταμὸς μεγάλαις περιέξεσε δίναις.
Αὐτὰρ ὑπὲρ νώτοιο καὶ αὐχένος ἠωρεῖτο
Ακρων δέρμα λέοντος ἀφημμένον ἐκ ποδεώνων.
Τὸν πρότερος προσέειπεν ἀεθλοφόρος Πολυδεύκης·
π. Χαῖρε ξεῖν', ὅστ' ἐσσί· τίνες βροτοὶ ὧν ὅδε χῶρος;
α. Χαίρω πῶς, ὅτε τ' ἄνδρας ὁρῶ τοὺς μήποτ' ὄπωπα;
π. Θάρσει· μήτ' ἀδίκους, μήτ' ἐξ ἀδίκων φάθι λεύσσειν.
α. Θαρσέω· κοὐκ ἐκ σοῦ με διδάσκεσθαι τόδ' ἔοικεν.
π. Αγριος εἶ, πρὸς πάντα παλίγκοτος, ἢ ὑπερόπτης.
α. Τοιόσδ' οἷος ὁρᾷς· τῆς σῆς γέ μὲν οὐκ ἐπιβαίνω.
π. Ελθοις, καὶ ξενίων γε τυχὼν, πάλιν οἴκαδ' ἱκάνοις.
α. Μήτε σύ με ξείνιζε· τά τ' ἐξ ἐμεῦ οὐκ ἐν ἑτοίμῳ.
π. Δαιμόνι', οὐδ' ἂν τοῦ γε πιεῖν ὕδατος σύ γε δοίης;
α. Γνώσεαι, εἴ σου δίψος ἀνειμένα χείλεα τέρσει.
π. Αργυρος, ἢ τίς ὁ μισθὸς ἐρεῖς, ᾧ κέν σε πίθοιμεν;
α. Εἷς ἑνὶ χεῖρας ἄειρον, ἐναντίος ἀνδρὶ καταστάς
Πυγμάχος, ἢ καὶ ποσσὶ θένων σκέλος· ἄμματα δ' ὀρθὰ
Πὺξ διατεινάμενος, σφετέρης μὴ φείδεο τέχνης.
π. Τίς γὰρ ὅτῳ χεῖρας καὶ ἐμοὺς συνερείσω ἱμάντας;
α. Εγγὺς ὁρᾷς. οὐ γύννις ἐὼν κεκλήσεθ' ὁ πύκτης.
π. Η καὶ ἄεθλον ἑτοῖμον ἐφ' ᾧ δηριοσόμεθ' ἄμφω;
α. Σὸς μὲν ἐγὼ, σὺ δ' ἐμὸς κεκλήσεαι, εἴ κε κρατήσω.
π. Ορνίχων φοινικολόφων τοιοίδε κυδοιμοί.
α. Εἴτ' οὖν ὀρνίχεσσιν ἐοικότες εἴτε λέουσι
Γεινόμεθ', οὐκ ἄλλῳ γε μαχεσσαίμεσθ' ἐπ' ἀέθλῳ.
Η ῥ' Αμυκος, καὶ κόχλον ἑλὼν μυκάσατο κοῖλον.
Οἱ δὲ θοῶς συνάγερθεν ὑπὸ σκιερὰς πλατανίστους,
Κόχλω φυσαθέντος, ἀεὶ Βέβρυκες κομόωντες.
Ως δ' αὔτως ἥρωας ἰὼν ἐκαλέσσατο πάντας

Αλλ' ἔμπης ὑμεῖς τε ϗ ἐκ βυθοῦ ἕλκετε νᾶας
Αὐτοῖσιν ναύταισιν ὀϊομένοις θανέεσθαι.
Αἶψα δ' ἀπολήγοντ' ἄνεμοι, λιπαρὰ δὲ γαλάνα
Αμπέλαγος· νεφέλαι δὲ διέδραμον ἄλλυδις ἄλλαι·
Εκ δ' ἄρκτοι τ' ἐφάνησαν, ὄνων τ' ἀνὰ μέσσον ἀμαυρὴ
Φάτνη, σημαίνοισα τὰ πρὸς πλόον εὔδια πάντα.
Ω ἄμφω θνατοῖσι βοηθόοι, ὦ φίλοι ἄμφω,
Ιππῆες, κιθαρισταὶ, ἀεθλητῆρες, ἀοιδοί·
Κάστορος ἢ πρώτου Πολυδεύκεος ἄρξομ' ἀείδειν;
Αμφοτέρους ὑμνέων, Πολυδεύκεα πρῶτον ἀείσω.
Η μὲν ἄρα προφυγοῦσα πέτρας εἰς ἓν ξυνιούσας
Αργὼ, ϗ νιφόεντος ἀταρτηρὸν στόμα Πόντου,
Βέβρυκας εἰσαφίκανε, θεῶν φίλα τέκνα φέροισα·
Ενθα μιᾶς πολλοὶ κατὰ κλίμακος ἀμφοτέρων ἐκ
Τοίχων ἄνδρες ἔβαινον Ιησονίης ἀπὸ νηός.
Εκβάντες δ' ἐπὶ θῖνα βαθὺν, ϗ ὑπήνεμον ἀκτὴν
Εὐνάς τ' ἐστόρνυντο, πυρειά τε χερσὶν ἐνώμων.
Κάστωρ δ' αἰολόπωλος ὅ, τ' οἰνωπὸς Πολυδεύκης,
Αμφω ἐρημάζεσκον, ἀποπλαγχθέντες ἑταίρων.
Παντοίην δ' ἐν ὄρει θηεύμενοι ἄγριον ὕλην,
Εὗρον ἀέναον κράναν ὑπὸ λισσάδι πέτρῃ
Υδατι πεπληθυῖαν ἀκηράτῳ· αἱ δ' ὑπένερθεν
Αλλαι κρυστάλλῳ ἠδ' ἀργύρῳ ἰνδάλλοντο
Εκ βυθοῦ. ὑψηλαὶ δὲ πεφύκεσαν ἀγχόθι πεῦκαι,
Λεῦκαί τ', πλάτανοί τε, ϗ ἀκρόκομοι κυπάρισσοι,
Ανθεά τ' εὐώδη, λασίαις φίλα ἔργα μελίσσαις,
Οσσ' ἔαρος λήγοντος ἐπιβρύει ἂν λειμῶνας.
Ενθα δ' ἀνὴρ ὑπέροπλος ἐνήμενος ἐνδιάασκε,
Δεινὸς ἰδεῖν, σκληραῖσι τεθλασμένος οὔατα πυγμαῖς·
Στήθεα δ' ἐσφαίρωτο πελώρια, ϗ πλατὺ νῶτον,
Σαρκὶ σιδαρείῃ, σφυρήλατος οἷα κολοσσός·

Ἐν δὲ μύες στερεοῖσι βραχίοσιν ἄκρον ὑπ' ὦμον
Ἕστασαν, ἠΰτε πέτροι ὀλοοίτροχοι, οὕστε κυλίνδων
Χειμάῤῥους ποταμὸς μεγάλαις περιέξεσε δίναις.
Αὐτὰρ ὑπὲρ νώτοιο καὶ αὐχένος ἠωρεῖτο
Ἄκρων δέρμα λέοντος ἀφημμένον ἐκ ποδεώνων.
Τὸν πρότερος προσέειπεν ἀεθλοφόρος Πολυδεύκης·
π. Χαῖρε ξεῖν', ὅστ' ἐσσί· τίνες βροτοὶ ὧν ὅδε χῶρος;
α. Χαίρω πῶς, ὅτε τ' ἄνδρας ὁρῶ τοὺς μήποτ' ὄπωπα;
π. Θάρσει· μήτ' ἀδίκους, μήτ' ἐξ ἀδίκων φάθι λεύσσειν.
α. Θαρσέω· κοὐκ ἐκ σοῦ με διδάσκεσθαι τόδ' ἔοικεν.
π. Ἄγριος εἶ, πρὸς πάντα παλίγκοτος, ἢ ὑπερόπτης.
α. Τοιόσδ' οἷος ὁρᾷς· τῆς σῆς γέ μὲν οὐκ ἐπιβαίνω.
π. Ἔλθοις, καὶ ξενίων γε τυχὼν, πάλιν οἴκαδ' ἵκανοις.
α. Μήτε σύ με ξείνιζε· τάτ' ἐξ ἐμεῦ οὐκ ἐν ἑτοίμῳ.
π. Δαιμόνι', οὐδ' ἂν τοῦ γε πιεῖν ὕδατος σύ γε δοίης;
α. Γνώσεαι, εἴ σου δίψος ἀνειμένα χείλεα τέρσει.
π. Ἄργυρος, ἢ τίς ὁ μισθὸς ἐρεῖς, ᾧ κέν σε πίθοιμεν;
α. Εἷς ἑνὶ χεῖρας ἄειρον, ἐναντίος ἀνδρὶ καταστάς
Πυγμάχος, ἢ καὶ ποσσὶ θένων σκέλος· ἄμματα δ' ὀρθὰ
Πὺξ διατεινάμενος, σφετέρης μὴ φείδεο τέχνης.
π. Τίς γὰρ ὅτῳ χεῖρας καὶ ἐμοὺς συνερείσω ἱμάντας;
α. Ἐγγὺς ὁρᾷς. οὐ γύνις ἐὼν κεκλήσεθ' ὁ πύκτης.
π. Ἦ καὶ ἄεθλον ἑτοῖμον ἐφ' ᾧ δηριασόμεθ' ἄμφω;
α. Σὸς μὲν ἐγὼ, σὺ δ' ἐμὸς κεκλήσεαι, εἴ κε κρατήσω.
π. Ὀρνίχων φοινικολόφων τοιοίδε κυδοιμοί.
α. Εἴτ' οὖν ὀρνίχεσσιν ἐοικότες εἴτε λέουσι
Γεινόμεθ', οὐκ ἄλλῳ γε μαχεσσαίμεσθ' ἐπ' ἀέθλῳ.
Ἦ ῥ' Ἄμυκος, καὶ κόχλον ἑλὼν μυκάσατο κοῖλον.
Οἱ δὲ θοῶς συνάγερθεν ὑπὸ σκιερὰς πλατανίστω,
Κόχλω φυσαθέντος, ἀεὶ Βέβρυκες κομόωντες.
Ὣς δ' αὔτως ἥρωας ἰὼν ἐκαλέσσατο πάντας

Μαγνήσσης ἀπὸ ναὸς ὑπείροχος ἐν δαῒ Κάστωρ.
Οἱ δ', ἐπεὶ οὖν σπείραισιν ἐκαρτύναντο βοείαις
Χεῖρας, καὶ περὶ γυῖα μακροὺς εἵλιξαν ἱμάντας,
Ες μέσσον σύναγον, φόνον ἀλλάλοισι πνέοντες.
Ενθα πολύς σφισι μόχθος ἐπειγομένοισιν ἐτύχθη,
Οππότερος κατὰ νῶτα λάβῃ φάος ἠελίοιο.
Αλλ' ἰδρίῃ μέγαν ἄνδρα παρήλυθες, ὦ Πολύδευκες·
Βάλλετο δ' ἀκτίνεσσιν ἅπαν Αμύκοιο πρόσωπον·
Αὐτὰρ ὅγ' ἐν θυμῷ κεχολωμένος ἵετο πρόσσω
Χέρσὶ τιτυσκόμενος· τοῦ δ' ἄκρον τύψε γένειον
Τυνδαρίδης ἐπιόντος. ὀρίνθη δὲ πλέον ἢ πρὶν,
Σὺν δὲ μάχαν ἐτίναξε, πολὺς δ' ἐπέκειτο νενευκὼς
Ες γαῖαν. Βέβρυκες δ' ἐπαΰτεον· ἐκ δ' ἑτέρωθεν
Ηρωες κρατερὸν Πολυδεύκεα θαρσύνεσκον,
Δειδιότες μή πως μιν ἐπιβρίσας δαμάσειε
Χώρῳ ἐνὶ στεινῷ Τιτυῷ ἐναλίγκιος ἀνήρ.
Ητοι ὅγ' ἔνθα καὶ ἔνθα παριστάμενος Διὸς υἱὸς
Αμφοτέραισιν ἄμυστεν ἀμοιβαδίς· ἔσχεθε δ' ὁρμῆς
Παῖδα Ποσειδάωνος, ὑπερφίαλόν περ ἐόντα.
Εστη δὲ πληγαῖς μεθύων· ἐκ δ' ἔπτυσεν αἷμα
Φοίνιον, οἱ δ' ἅμα πάντες ἀριστῆες κελάδησαν,
Ως ἴδον ἕλκεα λυγρὰ περὶ στόμα τε γναθμούς τε.
Ομματα δ' οἰδήσαντος ἀπεστείνωτο προσώπου.
Τὸν μὲν ἄναξ ἐτάραξεν, ἐτώσια χερσὶ προδεικνὺς
Παντόθεν· ἀλλ' ὅτε δή μιν ἀμηχανέοντ' ἐνόησε,
Μέσσας ῥινὸς ὕπερθε κατ' ὀφρύος ἤλασε πυγμὴν,
Πᾶν δ' ἀπέσυρε μέτωπον ἐς ὀστέον. αὐτὰρ ὁ πλαγεὶς,
Υπτιος ἐν φύλλοισι τεθαλόσιν ἐξετανύσθη.
Ενθα μάχη δριμεῖα πάλιν γένετ' ὀρθωθέντος·
Αλλάλους δ' ὄλεκον στερεοῖς θείνοντες ἱμᾶσιν.
Αλλ' ὁ μὲν ἐς στῆθός τε καὶ ἔξω χεῖρας ἐνώμα

Αὐχένος ἀρχαγὸς Βεβρύκων· ὁ δ' ἀεικέσι πλαγαῖς
Πᾶν συνέφυρε πρόσωπον ἀνίκατος Πολυδεύκης.
Σάρκες δ' αἱ μὲν ἱδρῶτι συνίζανον· ἐκ μεγάλου δὲ
Αἶψ' ὀλίγος γένετ' ἀνδρός· ὁ δ' αἰεὶ μάσσονα γυῖα
Ἀπτόμενος φορέεσκε πόνου, καὶ χροιῇ ἀμείνων.
Πῶς γὰρ δὴ Διὸς υἱὸς ἀδηφάγον ἄνδρα καθεῖλεν,
Εἰπὲ θεά· σὺ γὰρ οἶσθα. ἐγὼ δ' ἑτέρων ὑποφήτης
Φθέγξομαι ὡς ἐθέλεις σύ, καὶ ὅππως τοι φίλον αὐτῇ.
Ἤτοι ὅγε ῥέξαι τι λιλαιόμενος μέγα ἔργον,
Σκαιῇ μὲν σκαιὴν Πολυδεύκεος ἔλλαβε χεῖρα,
Δοχμὸς ἀπὸ προβολῆς κλινθείς· ἑτέρᾳ δ' ἐπιβαίνων,
Δεξιτερῆς ἤνεγκεν ἀπαὶ λαγόνος πλατὺ γυῖον.
Καί κε τυχὼν ἔβλαψεν Ἀμυκλαίων βασιλῆα·
Ἀλλ' ὅγ' ὑπεξανέδυ κεφαλῇ· στιβαρᾷ δ' ἄρα χειρὶ
Πλάξεν ὑπὸ σκαιὸν κρόταφον, καὶ ἐπέμπεσεν ὤμῳ·
Ἐκ δὲ χύθη μέλαν αἷμα θοῶς κροτάφοιο χανόντος.
Λαιῇ δὲ στόμα τύψε, πυκνοὶ δ' ἀράβησαν ὀδόντες.
Αἰεὶ δ' ὀξυτέρῳ πιτύλῳ δαλεῖτο πρόσωπον,
Μέχρι συνηλοίησε παρήϊα· πᾶς δ' ἐπὶ γαῖαν
Κεῖτ' ἀλλοφρονέων, καὶ ἀνέσχεθε, νεῖκος ἀπαυδῶν,
Ἀμφοτέρας ἅμα χεῖρας, ἐπεὶ θανάτου σχεδὸν ἦεν.
Τὸν μὲν ἄρα, κρατέων περ, ἀτάσθαλον οὐδὲν ἔρεξας
Ὦ πύκτα Πολύδευκες· ὄμοσσε δέ τοι μέγαν ὅρκον,
Ὃν πατέρ' ἐκ πόντοιο Ποσειδάωνα κικλήσκων,
Μήποτ' ἔτι ξείνοισιν ἑκὼν ἀνιηρὸς ἔσεσθαι.
Καὶ σὺ μὲν ὕμνησαί μοι ἄναξ· σὲ δὲ Κάστορ ἀείσω
Τυνδαρίδα, ταχύπωλε, δορυσσόε, χαλκεοθώραξ.

## ALTERA PARS HUJUS IDYLLII.

Continet monomachiam Caſtoris et Lyncei: cujus certaminis haec cauſa fuit. Caſtor et Pollux rapuerunt filias Leucippi, Phoeben ac Talairam, Lynceo et Idae fratribus deſponſatas. ſponſi eas bello repetiverunt: in quo bello Caſtor a Lynceo occiſus eſt, et Pollux Lyncea interemit: fuiſſetque et ipſe ab Ida interfectus, niſi Jupiter id fulmine prohibuiſſet. ſic referuntur haec ab Ovidio, in fine quinti Faſtorum. Theocritus hic aliter narrat, ait enim Lyncea a Caſtore occiſum, et Idam fulmine a Jove interfectum.

ΤΩ μὲν ἀναρπάξαντε δύω φερέτην Διὸς υἱὼ
Δοιὰς Λευκίπποιο κόρας· δοιὼ δ' ἄρα τώγε
Εσσυμένως ἐδίωκον ἀδελφεὼ, υἷ' Αφαρῆος,
Γαμβρὼ μελλογάμω, Λυγκεὺς καὶ ὁ καρτερὸς Ιδας.
Αλλ' ὅτε τύμβον ἵκανον ἀποφθιμένου Αφαρῆος,
Εκ δίφρων ἅμα πάντες ἐπ' ἀλλάλοισιν ὄρουσαν,
Εγχεσι καὶ κοίλοισι βαρυνόμενοι σακέεσσι.
Λυγκεὺς δ' αὖ μετέειπεν ὑπ' ἐκ κόρυθος μέγ' ἀΰσας,
Δαιμόνιοι τί μάχης ἱμείρετε; πῶς δ' ἐπὶ νύμφαις
Αλλοτρίαις χαλεποὶ, γυμναὶ δ' ἐν χερσὶ μάχαιραι;
Ημῖν τοι Λεύκιππος ἑὰς ἔδνωσε θύγατρας
Τάσδε πολὺ προτέροις· ἁμῖν γάμος οὗτος ἐν ὅρκῳ.
Υμεῖς δ' οὐ κατὰ κόσμον, ἐπ' ἀλλοτρίοις λεχέεσσι,
Βουσὶ καὶ ἡμιόνοισι, καὶ ἀλλοτρίοις κτεάτεσσιν,
Ανδρα παρετρέψασθε, γάμον δ' ἐκλέψατε δώροις.
Η μὰν πολλάκις ὔμμιν ἐνώπιος ἀμφοτέροισιν,
Αὐτὸς ἐγὼ τάδ' ἔειπα, καὶ οὐ πολύμυθος ἐὼν περ·
Ουχ' οὕτω φίλοι ἄνδρες ἀριστήεσσιν ἔοικε

Μνησ-

Μνηστεύειν ἀλόχους, αἷς νυμφίοι ἤδη ἑτοῖμοι.
Πολλά τοι Σπάρτα, πολλὰ δ' ἱππήλατος Αλις,
Αρκαδία τ' εὔμαλος, Αχαιῶν τε πτολίεθρα,
Μεσσάνα τε καὶ Αργος, ἅπασά τε Σισυφὶς ἀκτά·
Ενθα κόραι τοκέεσσιν ὑπὸ (σφετέροισι τρέφοντ')
Μυρίαι, οὔτε φυῆς ἐπιδευέες οὔτε νόοιο·
Τάων εὐμαρὲς ὔμμιν ὀπυίειν ἅς κ' ἐθέλητε·
Ως ἀγαθοῖς πολέες βούλοιντό γε πενθεροὶ εἶναι·
Υμμες δ' ἐν πάντεσσι διάκριτοι ἡρώεσσι,
Καὶ πατέρες, καὶ ἄνωθεν ἅπαν πατρώϊον αἷμα.
Αλλὰ φίλοι τοῦτον μὲν ἐάσατε πρὸς τέλος ἐλθεῖν
Νῶϊ γάμον, σφῶν δ' ἄλλον ἐπιφραζώμεθα πάντες.
Ισκον τοιάδε πολλά· τὰ δ' εἰς ὑγρὸν ᾤχετο κῦμα
Πνοιὴ ἔχοισ' ἀνέμοιο· χάρις δ' οὐχ ἕσπετο μύθοις.
Σφὼ γὰρ ἀκηλήτω καὶ ἀπηνέες. ἀλλ' ἔτι καὶ νῦν
Πείθεσθ'· ἄμφω δ' ἄμμιν ἀνεψιὼ ἐκ πατρὸς ἐσόν.
Εἰ δ' ὑμῖν κραδία πόλεμον ποθεῖ, αἵματι δὲ χρὴ
Νεῖκος ἀναρρήξαντας ὁμοίϊον ἔχθεα λῦσαι,
Ιδας μὲν καὶ ὅμαιμος ἐμὸς κρατερὸς Πολυδεύκης
Χεῖρας ἐρωήσουσιν ἀπεχθομένας ὑσμίνης·
Νῶϊ δ', ἐγὼ Κάστωρ τε, διακρινώμεθ' Αρηϊ,
Οπλοτέρω γεγαῶτε. γονεῦσι δὲ μὴ πολὺ πένθος
Αμετέροις λείπωμεν· ἅλις νέκυς ἐξ ἑνὸς οἴκου
Εἷς· ἀτὰρ ὤλλοι πάντας ἐϋφρανέουσιν ἑταίρους,
Νυμφίοι ἀντὶ νεκρῶν, ὑμεναιώσουσι καὶ κούρας
Τάς δ'· ὀλίγῳ τοι ἔοικε κακῷ μέγα νεῖκος ἀναιρεῖν.
Εἶπε. τὰ δ' οὐκ ἄρ' ἔμελλε θεὸς μεταμώνια θήσειν.
Τοὶ μὲν γὰρ ποτὶ γαῖαν ἀπ' ὤμων τεύχε' ἔθεντο,
Τοὶ γενεᾷ προφέρεσκον· ὁ δ' εἰς μέσον ἤλυθε Λυγκεὺς,
Σείων καρτερὸν ἔγχος ὑπ' ἀσπίδος ἄντυγα πρώταν·
Ως δ' αὔτως Κάστωρ ἐτινάξατο δούρατος ἀκμάς

Καρτερός

Καρτερός· ἀμφοτέροις δὲ λόφων ἐπένευον ἔθειραι.
Ἔγχεσι μὲν πράτιστα τιτυσκόμενοι πόνον εἶχον,
Ἀλλάλων εἴ πού τι χροὸς γυμνωθὲν ἴδοιεν.
Ἀλλ' ἤτοι τὰ μὲν ἄκρα, πάρος τινὰ δηλήσασθαι,
Δοῦρ' ἐάγη, σακέεσσιν ἐνὶ δεινοῖσι παγέντα.
Τὼ δ' ἄορ' ἐκ κολεοῖιν ἐρυσσαμένω, φόνον αὖτις
Τεῦχον ἐπ' ἀλλάλοισι· μάχης δ' οὐ γίνετ' ἐρωή.
Πολλὰ μὲν εἰς σάκος εὐρὺ καὶ ἱππόκομον τρυφάλειαν
Κάστωρ, πολλὰ δ' ἔνυξεν ἀκριβὴς ὄμματι Λυγκεὺς
Τοῖο σάκος, φοίνικα δ' ὅσον λόφον ἵκετ' ἀκωκή.
Τοῦ μὲν ἄκραν ἐκόλουσεν ἐπὶ σκαιὸν γόνυ χεῖρα
Φάσγανον ὀξὺ φέροντος· ὑπεξαναβὰς ποδὶ Κάστωρ
Σκαιῷ· ὁ δὲ, πλαγεὶς ξίφος ἔκβαλεν· αἶψα δὲ φεύγειν
Ὡρμάθη ποτὶ σᾶμα πατρὸς, τόθι καρτερὸς Ἴδας
Κεκλιμένος θαεῖτο μάχην ἐμφύλιον ἀνδρῶν.
Ἀλλὰ μεταΐξας πλατὺ φάσγανον ὦσε διαπρὸ
Τυνδαρίδας λαγόνος τε καὶ ὀμφαλοῦ· ἔγκατα δ' εἴσω
Χαλκὸς ἄφαρ διέχευεν. ὁ δ' εἰς χθόνα κεῖτο νενευκὼς
Λυγκεὺς, κὰδ δ' ἄρα οἱ βλεφάρων βαρὺς ἔδραμεν ὕπνος.
Οὐ μὰν οὐδὲ τὸν ἄλλον ἐφ' ἑστίῃ εἶδε πατρώῃ
Παίδων Λαοκόωσα, φίλον γάμον ἐκτελέσαντα.
Ἦ γὰρ ὅγε στάλαν Ἀφαρηΐου ἐξανέχουσαν
Τύμβω ἀναρρήξας ταχέως Μεσσάνιος Ἴδας
Μέλλε κασιγνήτοιο βαλεῖν σφετέροιο φονῆα·
Ἀλλὰ Ζεὺς ἐπάμυνε, χερῶν δέ οἱ ἔκβαλε τυκτὰν
Μάρμαρον, αὐτὸν δὲ φλογέῳ συνέφλεξε κεραυνῷ.
Οὕτω Τυνδαρίδαις πολεμιζέμεν οὐκ ἐπ' ἐλαφρῷ.
Αὐτοί τε κρατέοντε, καὶ ἐκ κρατέοντος ἔφυσαν.
Χαίρετε Λήδας τέκνα, καὶ ἀμετέροις κλέος ὕμνοις
Ἐσθλὸν ἀεὶ πέμποιτε. φίλοι δέ τε πάντες ἀοιδοὶ
Τυνδαρίδαις, Ἑλένᾳ τε, καὶ ἄλλοις ἡρώεσσιν,

Ἴλιον οἳ διέπερσαν, ἀρήγοντες Μενελάῳ.
Ὑμῖν κῦδος ἄνακτες ἐμήσατο Χῖος ἀοιδὸς,
Ὑμνήσας Πριάμοιο πόλιν, ϗ νῆας Ἀχαιῶν,
Ἰλιάδας τε μάχας, Ἀχιλῆά τε πύργον ἀϋτῆς
Ὑμῖν αὖ ϗ ἐγὼ λιγεᾶν μειλίγματα μουσῶν,
Οἷ' αὐταὶ παρέχουσι, ϗ ὡς ἐμὸς οἶκος ὑπάρχει,
Τοῖα φέρω, γεράων δὲ θεοῖς κάλλιστον ἀοιδή.

## ARGUMENTUM.

Narratio de quodam infelici amatore, qui durum et inhumanum adolescentem amabat; a quo cum contemptus esset, ipse sibi mortem conscivit. et adolescens quoque paulo post interiit, statuae cujusdam ruina oppressus. simile argumentum est secundae Eclogae Virgilii, praeterquam quod hoc magis tragicum est. traditur vero hic doctrina, quod nemo debet superbire propter formam: quia id bonum fragile est, et fugacissimum, juxta dictum Poëtae,

> Forma bonum fragile est: quantumque accedit ad
> annos,
> Fit minor, et spatio carpitur ipsa suo.

# ΕΡΑΣΤΗΣ, ἢ ΔΥΣΕΡΩΣ,

## Εἰδύλλιον κγ΄.

Ἀνήρ τις πολύφιλτρος ἀπηνέος ἤρατ' ἐφάβω,
Τὰν μορφὰν ἀγαθῶ, τὸν δὲ τρόπον οὐκ ἔθ' ὁμοίω.
Μίσει τὸν φιλέοντα, καὶ οὐδὲ ἓν ἅμερον εἶχε,
Κοὐκ ᾔδη τὸν ἔρωτα τίς ἦν θεὸς, ἁλίκα τόξα
Χερσὶ κρατεῖ, πῶς πικρὰ βέλη ποτὶ παιδία βάλλει.
Πάντα δὲ κᾆν μύθοισι καὶ ἐν προσόδοισιν ἀτειρής.
Οὐδέ τι τῶν πυρσῶν παραμύθιον, οὐκ ἀμάρυγμα
Χείλεος, οὐκ ὄσσων λιπαρὸν σέλας, οὐ ῥοδόμαλον,
Οὐ λόγος, οὐχὶ φίλαμα τὸ κουφίζον τὸν ἔρωτα.
Οἷα δὲ θὴρ ὑλαῖος ὑποπτεύησι κυναγὼς,
Οὕτω πάντ' ἐποίει ποτὶ τὸν βροτόν· ἄγρια δ' αὐτῷ
Χείλεα, καὶ κῶραι δεινὸν βλέπον, εἶχεν ἀνάγκαν·

Τᾶ

Τᾷ δὲ χολᾷ τὸ πρόσωπον ἀμείβετο· φεῦγε δ' ἀπὸ χρὼς,
Υβριν τᾶς ὀργᾶς περικείμενος. ἀλλὰ καὶ οὕτως
Ην καλός· ἐξ ὀργᾶς ἐρεθίζετο μᾶλλον ἐραστάς.
Λοίσθιον οὐκ ἤνεικε τὰ σύμφορα τᾶς Κυθερείας,
Αλλ' ἐλθὼν ἔκλαιε ποτὶ στυγνοῖσι μελάθροις,
Καὶ κύσε τὰν φλιάν. οὕτω δ' ἀνενείκατο φωνάν·
Αγριε παῖ καὶ στυγνὲ, κακᾶς ἀνάθρεμμα λεαίνας,
Λάϊνε παῖ, καὶ ἔρωτος ἀνάξιε, δῶρά τοι ἦλθον
Λοίσθια ταῦτα φέρων, τὸν ἐμὸν βρόχον. οὐκ ἔτι γάρ σε
Κῶρε θέλω λυπῆν κεχολωμένον· ἀλλὰ βαδίζω
Ενθα τύ μευ κατέκρινας, ὅπη λόγος ἦμεν ἀταρπὸν,
Ξυνὸν τοῖσιν ἐρῶσι τὸ φάρμακον, ἔνθα τὸ λᾶθος.
Αλλὰ καὶ ἢν ὅλον αὐτὸ λαβὼν ποτὶ χεῖλος ἀμέλξω,
Οὐδέ κε τὼς σβέσσω τὸν ἐμὸν πόθον. ἄρτι δὲ χαίρειν
Τοῖσι τεοῖς προθύροις ἐπιβάλλομαι. οἶδα τὸ μέλλον.
Καὶ τὸ ῥόδον καλόν ἐστι, καὶ ὁ χρόνος αὐτὸ μαραίνει·
Καὶ τὸ ἴον καλόν ἐστιν ἐν εἴαρι, καὶ ταχὺ γηρᾷ·
Λευκὸν τὸ κρίνον ἐστὶ, μαραίνεται ἁνίκα πίπτῃ.
Α δὲ χιὼν, λευκὰ, καὶ τάκεται ἁνίκα παχθῇ·
Καὶ κάλλος καλόν ἐστι τὸ παιδικὸν, ἀλλ' ὀλίγον ζῇ.
Ηξει καιρὸς ἐκεῖνος ὁπανίκα καὶ τὺ φιλάσεις,
Ανίκα τὰν κραδίαν ὀπτεύμενος, ἁλμυρὰ κλαύσεις.
Αλλὰ τὺ παῖ κἂν τοῦτο πανύστατον ἁδύ τι ῥέξον·
Οππόταν ἐξενθὼν ἠρτημένον ἐν προθύροισι
Τοῖσι τεοῖσιν ἴδῃς, τὸν τλάμονα μή με παρένθῃς·
Στᾶθι δὲ, καὶ βραχὺ κλαῦσον· ἐπισπείσας δὲ τὸ δάκρυ,
Λῦσον τᾶς σχοίνω με· καὶ ἀμφίθες ἐκ ῥεθέων σῶν
Εἵματα, καὶ κρύψον με· τὸ δ' αὖ πύμα τόν με φίλασον.
Κἂν νεκρῷ χάρισαι τὰ σὰ χείλεα μή με φοβαθῇς·
Οὐ δύναμαι ζῆν, εἴγε διαλλάξας με φιλάσεις.
Χῶμα δέ μοι κοίλανον, ὅ μευ κρύψει τὸν ἔρωτα·

Κἂν ἀπίκῃ, τόδε μοι τρὶς ἐπαΰσον, Ω φίλε κεῖσαι·
Ην δέ γε λῇς, καὶ τοῦτο, Καλὸς δέ μοι ὤλεθ' ἑταῖρος.
Γράψον καὶ τόδε γράμμα, τό σοι σίχοισι χαράξω,
  Τοῦτον Ερως ἔκτεινεν, ὁδοιπόρε· μὴ παροδεύσῃς,
  Αλλὰ στὰς τόδε λέξον, Απηνέα εἶχεν ἑταῖρον.
Ωδ' εἰπὼν, λίθον εἷλεν· ἐρεισάμενος δ' ἐπὶ τοίχῳ
Αχρι μέσων οὐδῶν φοβερὸν λίθον, ἧπτεν ἀπ' αὐτῶν
Τὰν λεπτὰν χοινίδα· βρόχον δ' ἔμβαλλε τραχήλῳ·
Τὰν ἕδραν δ' ἐκύλισεν ὑπὲκ ποδὸς, ἠδ' ἐκρεμάσθη
Νεκρός. ὁ δ' αὖτ' ὤϊξε θύρας, καὶ τὸν νεκρὸν εἶδεν
Αὐλᾶς ἐξ ἰδίας ἠρτημένον· οὐδ' ἐτυλίχθη
Τὰν ψυχὰν, οὐκ ἔκλαυσε νέον φόνον· ἀλλ' ἐπὶ νεκρῷ
Εἵματα πάντ' ἐμίανεν ἐφαβικά. βαῖνε δ' ἐπ' ἄθλον
Γυμνασῶν, καὶ τῆλε φίλων ἐπεμαίετο λουτρῶν.
Καὶ ποτὶ τὸν θεὸν ἦνθε τὸν ὕβρισε· λαϊνέας δὲ
Ισατ' ἀπὸ κρηπῖδος Ερως, ὑδάτων ἐφύπερθεν.
Αλατο καὶ τὤγαλμα, κακὸν δ' ἔκτεινεν ἔφαβον.
Αἷμα δ' ἐφοινίχθη· παιδὸς δ' ἐπενάχετο φωνά.
  Χαίρετε τοὶ φιλέοντες· ὁ γὰρ μισῶν ἐφονεύθη.
Στέργετε δ' ὔμμες αἴτας· ὁ γὰρ θεὸς οἶδε δικάζειν.

## ARGUMENTUM.

Hoc Idyllion totum est διηγηματικόν. primum enim commemorat, quomodo Hercules puer decem tantum natus menses, duos immani magnitudine dracones, nocturno tempore ut ipsum interficerent, immissos a Junone, manibus eliserit ac laceraverit. deinde vaticinium Tiresiae refertur. sequitur postea pulchra distributio quibus praeceptoribus Hercules, quaque in arte usus fuerit. ait Linum illi praeceptorem in literarum ac doctrinae studiis fuisse: ab Eumolpo vero musicam ipsum didicisse: ab aliis porro belli artes, et rei militaris scientiam. pars ultima, qua vitae ac victus ratio exponitur, intercidit. mancum itaque seu mutilum hoc Idyllion, fine praeciso, habemus: sicut et sequenti Idyllio caput seu initium deest. est vero imprimis illustris ac venusta in principio hujus Idyllii imago, quum Alcmena pueros Herculem atque Iphiclum, in scuto aereo, quod hosti occiso maritus ademerat, ponit, scutumque ceu cunas movet: et precationem addit, ut pueri feliciter dormiant. dulcis hic est scuti usus, et jucundus post res bello gestas finis, pacata educatio sobolis. est vero imago futurorum praestantium virorum, et magnorum bellatorum, qui etiam infantes in armis cubuerunt, et inter arma prima vitae exordia sumpserunt. quod autem Hercules decem mensium puer dracones elidit, significatur mature eminere eam quae futura sit eximia virtus. hoc Idyllion Moscho aut Bioni tribuunt nonnulli.

HPA-

# ΗΡΑΚΛΙΣΚΟΣ,

## Εἰδύλλιον κδ'.

Ἡρακλέα δεκάμηνον ἐόντα ποχ' ἁ Μιδεᾶτις
Ἀλκμήνα, ϗ νυκτὶ νεώτερον Ἰφικλῆα,
Ἀμφοτέρως λώσασα ϗ ἐμπλήσασα γάλακτος,
Χαλκείαν κατέθηκεν ἐπ' ἀσπίδα, τὰν Πτερελάου
Ἀμφιτρύων καλὸν ὅπλον ἀπεσκύλευσε πεσόντος·
Ἁπτομένα δὲ γυνὰ κεφαλᾶς μυθήσατο παίδων,
Εὕδετ' ἐμὰ βρέφεα γλυκερὸν ϗ ἐγέρσιμον ὕπνον·
Εὕδετ' ἐμὰ ψυχὰ, δύ' ἀδελφεὼ, εὔσοα τέκνα·
Ὄλβιοι εὐνάζοισθε, ϗ ὄλβιοι ἀῶ ἵκοισθε.
Ὣς φαμένα δίνασε σάκος μέγα· τὼς δ' ἔλαβ' ὕπνος.
Ἆμος δὲ στρέφεται μεσονύκτιον ἐς δύσιν ἄρκτος
Ὠρίωνα κατ' αὐτὸν, ὁ δ' ἀμφαίνει μέγαν ὦμον·
Τᾶμος ἄρ' αἰνὰ πέλωρα δύω πολυμήχανος Ἥρη
Κυανέαις φρίσσοντας ὑπὸ σπείραισι δράκοντας
Ὦρσεν ἐπὶ πλατὺν οὐδὸν, ὅθι σταθμὰ κοῖλα θυράων
Οἴκω· ἀπειλήσασα φαγεῖν βρέφος Ἡρακλῆα.
Τὼ δ' ἐξειλυσθέντες ἐπὶ χθονὶ γαστέρας ἄμφω
Αἱμοβόρως ἐκύλιον· ἀπ' ὀφθαλμῶν δὲ κακὸν πῦρ
Ἐρχομένοις λάμπεσκε, βαρὺν δ' ἐξέπτυον ἰόν.
Ἀλλ' ὅτε δὴ παίδων λιχμώμενοι ἐγγύθεν ἦλθον,
Καὶ τότ' ἄρ' ἐξέγροντο (Διὸς νοέοντος ἅπαντα)
Ἀλκμήνας φίλα τέκνα· φάος δ' ἀνὰ οἶκον ἐτύχθη.
Ἤτοι ὅγ' εὐθὺς ἄϋσεν, ὅπως κακὰ θηρί' ἀνέγνω
Κοίλω ὑπὲρ σάκεος, ϗ ἀναιδέας εἶδεν ὀδόντας
Ἰφικλέης. οὖλαν δὲ ποσὶν διελάκτισε χλαῖναν,
Φευγέμεν ὁρμαίνων. ὁ δ' ἐναντίος εἴχετο χερσὶν

Ηρακλέης· ἄμφω δὲ βαρεῖ ἐνεδήσατο δεσμῷ,
Δραξάμενος φάρυγος, τόθι φάρμακα λυγρὰ τέτυκται
Ουλομένοις ὀφίεσσι, τὰ καὶ θεοὶ ἐχθαίροντι.
Τὼ δ' αὖτε σπείρῃσιν ἑλισσέσθην περὶ παῖδα
Οψίγονον, γαλαθηνὸν, ὑπὸ τροφῷ αἰὲν ἄδακρυν.
Αψ δὲ πάλιν διέλυον ἐπεὶ μογέοιεν ἀκάνθας,
Δεσμοῦ ἀναγκαίου πειρώμενοι ἔκλυσιν εὑρεῖν.
Αλκμήνα δ' ἐσάκουσε βοᾶς, καὶ ἐπέγρετο πράτα,
Ανσταθ' Αμφιτρύων· ἐμὲ γὰρ δέος ἴσχει ὀκνηρόν·
Ανστα, μηδὲ πόδεσσι τεοῖς ὑπὸ σάνδαλα θείης.
Ουκ ἀΐεις παίδων ὁ νεώτερος ὅσσον ἀϋτεῖ;
Ου νοέεις ὅτι νυκτὸς ἀωρί που οἵδέ τε τοῖχοι
Πάντες ἀριφραδέες, καθαρᾶς ἅτερ ἠριγενείας;
Εστι τί μοι κατὰ δῶμα νεώτερον, ἔστι, φίλ' ἀνδρῶν.
Ως φάθ'. ὁ δ' ἐξ εὐνᾶς ἀλόχῳ κατέβαινε πιθήσας.
Δαιδάλεον δ' ὥρμησε μετὰ ξίφος, ἄῤῥ' οἱ ὕπερθε
Κλιντῆρος κεδρίνω περὶ πασσάλῳ αἰὲν ἄωρτο.
Ητοι ὅγ' ὠριγνᾶτο νεοκλώστου τελαμῶνος,
Κουφίζων ἑτέρᾳ κολεὸν, μέγα λώτινον ἔργον.
Αμφιλαφὴς δ' ἄρα παστὰς ἐνεπλήσθη πάλιν ὄρφνης.
Δμῶας δὴ τότ' ἄϋσεν ὕπνον βαρὺν ἐκφυσῶντας,
Οἴσετε πῦρ ὅτι θᾶσσον ἀπ' ἐσχαρεῶνος ἑλόντες
Δμῶες ἐμοὶ, στιβαροὺς δὲ θυρᾶν ἀνακόψατ' ὀχῆας·
Ανστατε δμῶες ταλασίφρονες. αὐτὸς ἀϋτεῖ.
Οἱ δ' αἶψα προγένοντο λύχνοις ἅμα δαιομένοισι
Δμῶες· ἐνεπλήσθη δὲ δόμος σπεύδοντος ἑκάστου.
Ητοι ἄρ' ὡς εἴδοντ' ἐπιτίτθιον Ηρακλῆα
Θῆρε δύω χείρεσσιν ἀπρὶξ ἁπαλαῖσιν ἔχοντα
Συμπλήγδην, ἰάχησαν· ὁ δ' ἐς πατέρ' Αμφιτρύωνα
Ερπετὰ δεικανάεσκεν· ἐπάλλετο δ' ὑψόθι χαίρων
Κωροσύνᾳ· γελάσας δὲ, πάρος κατέθηκε ποδοῖιν

Πατρὸς

Πατρὸς ἐῦ θανάτῳ κεκαρωμένα δεινὰ πέλωρα.
Αλκμήνα μὲν ἔπειτα ποτὶ σφέτερον βάλε κόλπον
Ξηρὸν ὑπαὶ δείους ἀκράχολον Ιφικλῆα·
Αμφιτρύων δὲ τὸν ἄλλον ὑπ᾽ ἀμνείαν θέτο χλαῖναν
Παῖδα· πάλιν δ᾽ ἐς λέκτρον ἰὼν ἐμνάσατο κοίτου.
Ορνιθες τρίτον ἄρτι τὸν ἔσχατον ὄρθρον ἄειδον,
Τειρεσίαν τόκα μάντιν, ἀλαθέα πάντα λέγοντα,
Αλκμήνα καλέσασα, χρέος κατέλεξε νεοχμὸν,
Καί νιν ὑποκρίνεσθαι ὅπως τελέεσθαι ἔμελλεν
Ηνώγει· μηδ᾽ εἴ τι θεοὶ νοέοντι πονηρὸν,
Αἰδόμενος ἐμὲ κρύπτε. καὶ ὡς οὐκ ἔστιν ἀλύξαι
Ανθρώποις ὅ,τι μοῖρα κατὰ κλωστῆρος ἐπείγει,
Μάντι Εὐηρείδα, μάλα σε φρονέοντα διδάσκω.
Τὼς ἔλεγεν βασίλεια· ὁ δ᾽ ἀνταμείβετο τοίως,
Θάρσει ἀριστοτόκεια γύναι, Περσήϊον αἷμα.
Ναὶ γὰρ ἐμὸν γλυκὺ φέγγος ἀποιχόμενον πάλαι ὄσσων,
Πολλαὶ Αχαιϊάδων μαλακὸν περὶ γούνατι νῆμα
Χειρὶ καταστρέψοντι, ἀκρέσπερον ἀείδοισαι
Αλκμήναν ὀνομαστί· σέβας δ᾽ ἔσῃ Αργείαισι.
Τοῖος ἀνὴρ ὅδε μέλλει ἐς οὐρανὸν ἄστρα φέροντα
Αμβαίνειν, τεὸς υἱὸς, ἀπὸ στέρνων πλατὺς ἥρως·
Οὗ καὶ θηρία πάντα καὶ ἀνέρες ἥσσονες ἄλλοι.
Δώδεκά οἱ τελέσαντι πεπρωμένον ἐν Διὸς οἰκεῖν
Μόχθους· θνητὰ δὲ πάντα πυρὰ Τραχίνιος ἕξει.
Γαμβρὸς δ᾽ ἀθανάτων κεκλήσεται, οἳ τάδ᾽ ἐπῶρσαν
Κνώδαλα φωλεύοντα βρέφος διαδηλήσασθαι.
Εσται δὴ τοῦτ᾽ ἆμαρ ὁπηνίκα νεβρὸν ἐν εὐνᾷ
Καρχαρόδων σίνεσθαι ἰδὼν λύκος οὐκ ἐθελήσει.
Αλλὰ γύναι πῦρ μέν τοι ὑπὸ σποδῷ εὔτυκον ἔστω,
Κάγκανα δ᾽ ἀσπαλάθω ξύλ᾽ ἑτοιμάσατ᾽, ἢ παλιούρω,
Η βάτω, ἢ ἀνέμῳ δεδονημένον αὖον ἄχερδον·

Καῖε

Καῖε δὲ τῶδ' ἀγρίῃσιν ἐπὶ χίζῃσι δράκοντε
Νυκτὶ μέσᾳ, ὄκα παῖδα κανῆν τεὸν ἤθελον αὐτοί.
Ηρι δὲ, συλλέξασα κόνιν πυρὸς ἀμφιπόλων τὶς,
Ριψάτω εὖ μάλα πᾶσαν ὑπὲρ ποταμοῖο φέρυσα,
Ρωγάδας ἐς πέτρας, ὑπὲρ ὔριον· ἆψ δὲ νέεσθαι
Αστρεπτος· καθαρῷ δὲ πυρώσατε δῶμα θεείῳ
Πρᾶτον· ἔπειτα δ' ἄλεσσι μεμιγμένον (ὡς νενόμισται)
Θαλλῷ ἐπιῤῥαίνειν ἐστεμμένον ἀβλαβὲς ὕδωρ·
Ζηνὶ δ' ἐπιῤῥέξαι καθυπερτέρῳ ἄρσενα χοῖρον·
Δυσμενέων αἰεὶ καθυπέρτεροι ὡς τελέθοιτε.
Φῆ, καὶ ἐρωήσας ἐλεφάντινον ὤχετο δίφρον
Τειρεσίας, πολλοῖσι βαρύς περ ἐὼν ἐνιαυτοῖς.
Ηρακλέης δ' ὑπὸ ματρὶ, νέον φυτὸν ὡς ἐν ἀλωᾷ,
Ετρέφετ', Αργείω κεκλημένος Αμφιτρύωνος.
Γράμματα μὲν τὸν παῖδα γέρων Λίνος ἐξεδίδαξεν,
Υὸς Απόλλωνος, μελεδωνεὺς ἄγρυπνος ἥρως·
Τόξον δ' ἐντανύσαι καὶ ἐπίσκοπον εἶναι ὀϊστῶν,
Εὔρυτος, ἐκ πατέρων μεγάλαις ἀφνειὸς ἀρύραις.
Αὐτὰρ ἀοιδὸν ἔθηκε καὶ ἄμφω χεῖρας ἔπλαξε
Πυξίνᾳ ἐν φόρμιγγι Φιλαμμονίδας Εὔμολπος.
Οσσα δ' ἀπὸ σκελέων ἑδροστρόφοι Αργόθεν ἄνδρες
Αλλήλως σφάλλοντι παλαίσμασιν, ὅσσά τε πύκται
Δεινοὶ ἐν ἱμάντεσσιν, ἅ, τ' εἰς γαῖαν προπεσόντες
Πυγμάχοι ἐξεύροντο παλαίσματα σύμφορα τέχνᾳ,
Πάντ' ἔμαθ' Ερμείαο διδασκόμενος παρὰ παιδὶ
Αρπαλύκῳ Φανοπῆϊ· τὸν οὐδ' ἂν τηλόθι λεύσσων
Θαρσαλέως τις ἔμεινεν ἀεθλεύοντ' ἐν ἀγῶνι·
Τοῖον ἐπισκύνιον βλοσυρῷ ἐπέκειτο προσώπῳ.
Ιππως δ' ἐξελάσασθαι ὑφ' ἅρματι, καὶ περὶ νύσσαν
Ασφαλέως κάμπτοντα τροχῷ σύριγγα φυλάξαι,
Αμφιτρύων ὃν παῖδα φίλα φρονέων ἐδίδασκεν

Αὐτός· ἐπεὶ μάλα πολλὰ θοῶν ἐξήρατ' ἀγώνων
Ἀργει ἐν ἱπποβότῳ κειμήλια· καί οἱ ἀαγεῖς
Δίφροι ἐφ' ὧν ἐπέβαινε, χρόνῳ διέλυσαν ἱμάντας.
Δούρατι δὲ προβολαίῳ, ὑπ' ἀσπίδι νῶτον ἔχοντα,
Ἀνδρὸς ὀρέξασθαι, ξιφέων τ' ἀνέχεσθαι ἀμυχμόν·
Κοσμῆσαί τε φάλαγγα, λόχον τ' ἀναμετρήσασθαι
Δυσμενέων ἐπιόντα, καὶ ἱππήεσσι κελεῦσαι,
Κάστωρ ἱππαλίδας ἔδαεν, φυγὰς Ἄργεος ἐλθών,
Ὀππόκα κλᾶρον ἅπαντα καὶ οἰνόπεδον μέγα Τυδεὺς
Ναῖε, παρ' Ἀδρήστοιο λαβὼν ἱππήλατον Ἄργος.
Κάστορι δ' οὔτις ὁμοῖος ἐν ἁμιθέοις πολεμιστὴς
Ἄλλος ἔην, πρὶν γῆρας ἀποτρίψαι νεότητα.
Ὧδε μὲν Ἡρακλῆα φίλα παιδεύσατο μάτηρ·
Εὐνὰ δ' ἦς τῷ παιδὶ τετυγμένα ἀγχόθι πατρὸς,
Δέρμα λεόντειον, μάλα οἱ κεχαρισμένον αὐτῷ·
Δεῖπνον δὲ, κρέα τ' ὀπτὰ, καὶ ἐν κανέῳ μέγας ἄρτος
Δωρικός· ἀσφαλέως κε φυτοσκάφον ἄνδρα κορέσσαι.
Αὐτὰρ ἐπ' ἄματι τυννὸν ἄνευ πυρὸς αἴνυτο δόρπον.
Εἵματα δ' οὐκ ἀσκητὰ μέσας ὑπὲρ ἕννυτο κνάμας.

* * * * * *

Λείπει τὸ τέλος τοῦ παρόντος Εἰδυλλίου.

## ARGUMENTUM.

Poëta ubique instituti sui memor, de pastoribus potissimum agit. quaerens hoc Idyllio Hercules Augiam regem Elidis, locupletissimum pastorem, primum incidit in senem quendam ex pastoribus Augiae: a quo ad regem, qui rus ab urbe ad inspicienda armenta cum filio Phyleo expatiatum iverat, deducitur. inde in urbem una eunt Hercules et Phyleus: et orta inter eundum, ut fit, sermone, dum Phyleus immane exuvium leonis, quo Hercules tectus erat, miratur, et unde illi haec pellis sit, quaerit; Hercules quomodo a se leo Nemeaeus interfectus sit, commemorat. haec summa est Idyllii.

# ΗΡΑΚΛΗΣ ΛΕΟΝΤΟΦΟΝΟΣ,

ἢ κατά τινα ἀντίγραφα,

## ΑΥΓΕΙΟΥ ΚΛΗΡΟΣ,

## Εἰδύλλιον κε΄.

Λείπει ἡ ἀρχή.

* * * * * *

Τὸν δ' ὁ γέρων προσέειπε βοῶν ἐπιβουκόλος ἀνὴρ,
Παυσάμενος ἔργοιο τό οἱ μετὰ χερσὶν ἔκειτο·
Ἐκ τοι ξεῖνε πρόφρων μυθήσομαι ὅσσ' ἐρεείνεις,
Ἑρμέω ἀζόμενος δεινὴν ὄπιν εἰνοδίοιο.
Τὸν γάρ φασὶ μέγιστον ἐπουρανίων κεχολῶσθαι,
Εἴ κεν ὁδοῦ ζαχρεῖον ἀνήνηταί τις ὁδίτην.
Ποίμναι μὲν βασιλῆος ἐΰτριχες Αὐγείαο,

Οὐ πᾶσαι βόσκονται ἴαν βόσιν, οὐδ' ἕνα χῶρον·
Ἀλλ' αἱ μέν ῥα νάοντος ἐπ' ὄχθαις ἄμφ' Ελισοῦντος,
Αἱ δ' ἱερὸν θείοιο παρὰ ῥόον Ἀλφειοῖο,
Αἱ δ' ἐπὶ Βουπρασίου πολυβότρυος· αἱ δὲ, καὶ ὧδε.
Χωρὶς δὴ σηκοί σφι τετυγμένοι εἰσὶν ἑκάστοις·
Αὐτὰρ βουκολίοισι περιπλήθουσί περ ἔμπης.
Πάντεσσιν νομοὶ ὧδε τεθηλότες αἰὲν ἔασι,
Μηνίου ἂν μέγα τῖφος· ἐπεὶ μελινδέα ποίην
Λειμῶνές τε φέρουσιν ὑπόδροσοι εἰαμεναί τε
Εἰς ἅλις, ἥ ῥα βόεσσι μένος κεραῇσιν ἀέξει.
Αὖλις δέ σφισιν ἥδε τεῆς ἐπιδέξια χειρὸς
Φαίνεται εὖ μάλα πᾶσα πέρην ποταμοῖο ῥέοντος,
Κείνῃ ὅθι πλατάνιστοι ἐπηεταναὶ πεφύασι,
Χλωρή τ' ἀγριέλαιος, Ἀπόλλωνος νομίοιο
Ἱερὸν ἁγνὸν, ξεῖνε, τελειοτάτοιο θεοῖο·
Εὐθὺς δὲ σταθμοὶ περιμήκεες ἀγριώταις
Δέδμηνθ', οἳ βασιλῆϊ πολὺν καὶ ἀθέσφατον ὄλβον
Ῥυόμεθ' ἐνδυκέως, τριπόλοις σπόρον ἐν νειοῖσιν
Ἔσθ' ὅτε βάλλοντες, καὶ τετραπόλοισιν ὁμοίως.
Οὔρους μὲν ἴσασι φυτοσκάφοι, οἳ πολυεργοὶ
Ἐς ληνοὺς ἱκνεῦνται, ἐπὴν θέρος ὥριον ἔλθῃ·
Πᾶν γὰρ δὴ πεδίον τόδ', ἐΰφρονος Αὐγείαο,
Πυροφόροι τε γύαι, καὶ ἀλωαὶ δενδρήεσσαι,
Μέχρι πρὸς ἐσχατιὰς πολυπίδακος ἀκρωρείης·
Ὃς ἡμεῖς ἔργοισιν ἐποιχόμεθα πρόπαν ἦμαρ,
Ἣ δίκη οἰκήων οἷσιν βίος ἔπλετ' ἐπ' ἀγροῖς.
Ἀλλὰ σύ περ μοι ἔνισπε, (τό τοι καὶ κέρδιον αὐτῷ
Ἔσσεται) οὗ τινος ὧδε κεχρημένος εἰλήλουθας.
Ἠέ τοι Αὐγείην ἢ καὶ δμώων τινὰ κείνου
Δίζεαι, οἵ οἱ ἔασιν· ἐγὼ δέ κέ τοι σάφα εἰδὼς
Πάντα μάλ' ἐξείποιμ'· ἐπεὶ οὐ σέ γε φημὶ κακῶν ἐξ

Ἔμμεναι

Εμμεναι, οὐδὲ κακοῖσιν ἐοικότα φύμεναι αὐτὸν,
Οἷόν τοι μέγα εἶδος ἐπιπρέπει· ἦ ῥά νυ παῖδες
Αθανάτων τοιοίδε μετὰ θνητοῖσιν ἔασι.
Τὸν δ' ἀπαμειβόμενος προσέφη Διὸς ἄλκιμος υἱὸς,
Ναὶ γέρον Αὐγείην ἐθέλοιμί κεν ἀρχὸν Επειῶν
Εἰσιδέειν· τοῦ γάρ με καὶ ἤγαγεν ἐνθάδε χρειώ.
Εἰ δ' ὁ μὲν ἄρ κατὰ ἄστυ μένει παρὰ οἷσι πολίταις,
Δήμου κηδόμενος, διά τε κρίνησι θέμιστας,
Δμώων δή τινα τῶνδε σύ μοι φράσον ἡγεμονεῦσαι,
Οστις ἐπ' ἀγρῶν τῶνδε γεραίτερος αἰσυμνήτης,
Ω κε τὸ μὲν κ' εἴποιμι, τὸ δ' ἐκ φαμένοιο πυθοίμην.
Αλλου δ' ἄλλον ἔθηκε θεός γ' ἐπιδεέα φωτῶν.
Τὸν δ' ὁ γέρων ἐξαῦτις ἀμείβετο δῖος ἀγρώτης,
Αθανάτων ὦ ξεῖνε φραδῇ τινὸς ἐνθάδ' ἱκάνεις.
Ως τοι πᾶν ὃ θέλεις αἶψα χρέος ἐκτετέλεσται.
Ωδε γὰρ Αὐγείης υἱὸς φίλος Ηελίοιο,
Σφωϊτέρῳ σὺν παιδὶ, βίῃ Φυλῆος ἀγαυοῦ,
Χθιζός γ' εἰλήλυθεν ἀπ' ἄστεος, ἤμασι πολλοῖς
Κτῆσιν ἐποψόμενος ἥ οἱ νήριθμος ἐπ' ἀγρῶν·
Ως που καὶ βασιλεῦσιν ἐείδεται ἐν φρεσὶν ᾗσιν
Αὐτοῖς κηδομένοισι σαώτερος ἔμμεναι οἶκος.
Αλλ' ἴομεν μάλα πρός μιν· ἐγὼ δέ τοι ἡγεμονεύσω
Αὖλιν ἐς ἡμετέρην, ἵνα κεν τέτμοιμεν ἄνακτα.
Ως εἰπὼν ἡγεῖτο· νόῳ δ' ὅγε πολλὰ μενοίνα,
Δέρμα τε θηρὸς ὁρῶν χειροπληθῆ τε κορύνην,
Οππόθεν ὁ ξεῖνος· μέμαεν δέ μιν ἐξερέεσθαι.
Αψ δ' ὄκνῳ πολὶ χεῖλος ἐλάμβανε μῦθον ἰόντα,
Μή τι οἱ οὐ κατὰ καιρὸν ἔπος προτιμυθήσαιτο
Σπερχομένῳ. χαλεπὸν δ' ἑτέρου νόον ἴδμεναι ἀνδρός.
Τοὺς δὲ κύνες προσιόντας ἀπόπροθεν αἶψ' ἐνόησαν,
Αμφότερόν τ', ὀδμῇ τε χροὸς, δούπῳ τε ποδοῖϊν.

Θεσπέσιον δ' ὑλάοντες ἐπέδραμον ἄλλοθεν ἄλλος.
Αμφιτρυωνιάδῃ Ηρακλέϊ· τὸν δὲ γέροντα,
Αχρεῖον κλάζοντε, περίσσαινόν γ' ἑτέρωθεν.
Τοὺς μὲν ὅγε λάεσσιν ἀπὸ χθονὸς ὅσσον ἀείρων,
Φευγέμεν ἂψ ὀπίσω δειδίσσετο. τρηχὺ δὲ φωνῇ
Ηπείλει μάλα πᾶσιν, ἐρητύσασκε δ' ὑλαγμοῦ·
Χαίρων ἐν φρεσὶν ᾗσιν ὅθ' οὕνεκεν αὖλιν ἔρυντο
Αὐτοῦ γ' οὐ παρεόντος. ἔπος δ' ὅγε τοῖον ἔειπεν,
Ω πόποι, οἷον τοῦτο θεοὶ ποίησαν ἄνακτες
Θηρίον ἀνθρώποισι μετέμμεναι· ὡς ἐπιμηθές.
Εἴ οἱ καὶ φρένες ὧδε νοήμονες ἔνδοθεν ἦσαν,
Ηδει δ' ᾧ τε χρὴ χαλεπαινέμεν, ᾧ τε καὶ οὐκὶ,
Οὐκ ἄν τοι θηρῶν τις ἐδήρισεν περὶ τιμῆς·
Νῦν δὲ λίην ζάκοτόν τε καὶ ἀῤῥηνὲς γένεθ' αὔτως.
Η ῥα, καὶ ἐσσυμένως ποτὶ ταὔλιον ἶζον ἰόντες.
Ηέλιος μὲν ἔπειτα ποτὶ ζόφον ἔτραπεν ἵππους,
Δείελον ἦμαρ ἄγων· τὰ δ' ἐπήλυθε πίονα μῆλα.
Εκ βοτάνης ἀνιόντα μετ' αὔλιά τε σηκούς τε.
Αὐτὰρ ἔπειτα βόες μάλα μυρίαι ἄλλαι ἐπ' ἄλλαις
Ερχόμεναι φαίνονθ', ὡσεὶ νέφη ὑδατόεντα
Οσσά τ' ἐν οὐρανῷ εἰσὶν ἐλαυνόμενα προτέρωσε
Ηὲ νότοιο βίῃ ἠὲ Θρηκὸς βορέαο·
Τῶν μέν τ' οὔτις ἀριθμὸς ἐν ἠέρι γίνεται ὄντων,
Οὐδ' ἄνυσις· τόσα γάρ τε μετὰ πρώτοισι κυλίνδει
Ις ἀνέμου, τὰ δέ τ' ἄλλα κορύσσεται αὖθις ἐπ' ἄλλοις·
Τόσσ' αἰεὶ μετόπισθε βοῶν ἐπὶ βουκόλι' ᾔει·
Πᾶν δ' ἄρ' ἐνεπλήσθη πεδίον, πᾶσαι δὲ κέλευθοι,
Ληΐδος ἐρχομένης· στείνοντο δὲ πίονες ἀγροὶ
Μυκηθμῷ· σηκοὶ δὲ βοῶν ῥεῖα πλήσθησαν
Εἰλιπόδων· ὄϊες δὲ κατ' αὐλὰς ηὐλίζοντο.
Ενθα μὲν οὔτις ἕκηλος, ἀπειρεσίων περ ἐόντων,

Εἰσήκει

Εἱστήκει παρὰ βουσὶν ἀνὴρ κεχρημένος ἔργου·
Αλλ' ὁ μὲν ἀμφὶ πόδεσσιν ἐϋτμήτοισιν ἱμᾶσι
Καλοπέδιλ' ἀράρισκε, παρασταδὸν ἐγγὺς ἀμέλγων·
Αλλος δ' αὖ φίλα τέκνα φίλας ὑπὸ μητέρας ἵει
Πινέμεναι λιαροῖο· πέπληντο δὲ πάγχυ γάλακτος.
Αλλος ἀμόλγιον εἶχ', ἄλλος τρέφε πίονα τυρόν·
Αλλος ἐσῆγεν ἔσω ταύρους, δίχα θηλειάων.
Αὐγείης δ' ἐπὶ πάντας ἰὼν θηεῖτο βοαύλους,
Ηντινά οἱ κτεάνων κομιδὴν ἐτίθεντο νομῆες.
Σὺν δ' υἱός τε βίη τε πολύφρονος Ηρακλῆος
Ωμάρτευν βασιλῆϊ διερχομένῳ μέγαν ὄλβον.
Ενθα καὶ ἄρρηκτόν περ ἔχων ἐν στήθεσι θυμὸν
Αμφιτρυωνιάδης, καὶ ἀρηρότα νωλεμὲς αἰεὶ,
Εκπάγλως θαύμαζε βοῶν τόγε μυρίον ἔθνος
Εἰσορόων. οὐ γάρ κεν ἔφασκέ τις οὐδὲ ἐώλπει
Ανδρὸς ληΐδ' ἑνὸς τόσσην ἔμεν, οὐδὲ δέκ' ἄλλων,
Οἵ γε πολύρρηνες πάντων ἔσαν ἐκ βασιλήων.
Ηέλιος δ' ᾧ παιδὶ τόδ' ἔξοχον ὤπασε δῶρον,
Αφνειὸν μήλοις πέρι πάντων ἔμμεναι ἀνδρῶν.
Καί ῥά οἱ αὐτὸς ὄφελλε διαμπερέως βοτὰ πάντα
Ες τέλος· οὐ μὲν γάρ τις ἐπήλυθε νοῦσος ἐκείνοις
Βουκολίοις, αἵ τ' ἔργα καταφθείρουσι νομήων.
Αἰεὶ δὲ πλέονες κεραοὶ βόες, αἰεὶ ἀμείνους
Εξ ἔτεος γείνοντο μάλ' εἰς ἔτος. ἦ γὰρ ἅπασαι
Ζωοτόκοι τ' ἦσαν περιώσια θηλυτόκοι τε.
Ταῖς δὲ τριηκόσιοι ταῦροι συνάμ' ἐστιχόωντο,
Κνήμαργοί θ' ἕλικές τε· διηκόσιοί τε μὲν ἄλλοι
Φοίνικες· πάντες δ' ἐπιβήτορες οἵγ' ἔσαν ἤδη.
Αλλοι δ' αὖ μετὰ τοῖσι δυώδεκα βουκολέοντο,
Ιεροὶ Ηελίου· χροιὴν δ' ἔσαν ἠΰτε κύκνοι,
Αργησταί· πᾶσιν δὲ μετέπρεπον εἰλιπόδεσσιν,

Οἱ

Οἳ καὶ ἀτιμαγέλαι βόσκοντ' ἐριθηλέα ποίην
Εν νομῷ, ὧδ' ἔκπαγλον ἐπὶ σφίσι γαυριόωντες.
Καί ῥ' ὁπότ' ἐκ λασίοιο θοοὶ προγενοίατο θῆρες
Ες πεδίον δρυμοῖο, βοῶν ἕνεκ' ἀγροτεράων,
Πρῶτοι τοίγε μάχηνδε κατὰ χροὸς ἤεσαν ὁρμήν.
Δεινὸν δὲ βρυχῶντο, φόνον λεύσσοντε προσώπῳ.
Τῶν μὲν τε προφέρεσκε βίηφί τε καὶ σθένεϊ ᾧ,
Ηδ' ὑπεροπλίῃ Φαέθων μέγας· ὅν ῥα βοτῆρες
Αστέρι πάντες ἔϊσκον, ὅθ' οὕνεκα πολλὸν ἐν ἄλλοις
Βουσὶν ἰὼν λάμπεσκεν, ἀρίζηλος δ' ἐτέτυκτο.
Ος δή τοι σκύτος αὖον ἰδὼν χαροποῖο λέοντος,
Αὐτῷ ἔπειτ' ἐπόρουσεν ἐϋσκόπῳ Ηρακλῆϊ,
Χρίμψασθαι ποτὶ πλευρὰ κάρη στιβαρόν τε μέτωπον.
Τοῦ μὲν ἄναξ προσιόντος ἐδράξατο χειρὶ παχείῃ
Σκαιοῦ ἄφαρ κέραος· κατὰ δ' αὐχένα νέρθ' ἐπὶ γαίης
Κλάσσε βαρύν περ ἐόντα· πάλιν δέ μιν ὦσεν ὀπίσσω,
Ωμῳ ἐπιβρίσας· ὁ δέ οἱ ἐπὶ νεῦρα τανυσθεὶς
Μυῶν ἐξ ὑπάτοιο βραχίονος ὀρθὸς ἀνέστη.
Θαύμαζεν δ' αὐτός τε ἄναξ, υἱός τε δαΐφρων
Φυλεὺς, οἵ τ' ἐπὶ βουσὶ κορωνίσι βουκόλοι ἦσαν,
Αμφιτρυωνιάδαο βίην ὑπέροπλον ἰδόντες.
Τὼ δ' εἰς ἄστυ, λιπόντε κατ' αὐτόθι πίονας ἀγροὺς,
Εστιχέτην, Φυλεύς τε βίη θ' Ηρακληείη.
Λαοφόρου δ' ἐπέβησαν ὅθι πρώτιστα κελεύθου,
Λεπτὴν καρπαλίμοισι τρίβον ποσὶν ἐξανύσαντες,
Η ῥα δι' ἀμπελεῶνος ἀπὸ σταθμοῦ τετάνυστο,
Οὔτι λίην ἀρίσαμος ἐν ὕλῃ χλωρᾷ ἐοῦσα·
Τῇ μὲν ἄρα προσέειπε Διὸς γόνον ὑψίστοιο
Αὐγείεω φίλος υἱὸς, ἕθεν μετόπισθεν ἐόντα,
Ηκα παρακλίνας κεφαλὴν κατὰ δεξιὸν ὦμον·
Ξεῖνε, πάλαι τινὰ πάγχυ σέθεν πέρι μῦθον ἀκούσας,

Οσεί

Ωσεί περ σφετέρῃσιν ἐνὶ φρεσὶ βάλλομαι ἄρτι.
Ηλυθε γὰρ ξεῖνος τὶς ἀπ' Αργεος ὡς νέος ἀκμὴν
Ενθάδ' Αχαιὸς ἀνὴρ, Ελίκης ἐξ ἀγχιάλοιο,
Ος δή τοι μυθεῖτο καὶ ἐν πλεόνεσσιν Επειῶν,
Οὕνεκεν Αργείων τὶς ἔθεν παρεόντος ὄλεσσε
Θηρίον, αἰνολέοντα, κακὸν τέρας ἀγροιώταις,
Κοίλην αὖλιν ἔχοντα Διὸς Νεμέοιο παρ' ἄλσος.
Οὐκ οἶδ' ἀτρεκέως ἢ Αργεος ἐξ ἱεροῖο
Αὐτόθεν, ἢ Τίρυνθα νέμων πόλιν, ἠὲ Μυκήνην.
Ως κεῖνος ἀγόρευε· γένος δέ μιν εἶναι ἔφασκεν
(Εἰ ἐτεόν περ ἐγὼ μιμνήσκομαι) ἐκ Περσῆος.
Ελπομαι οὐχ ἕτερον τόδε τλήμεναι Αἰγιαλήων·
Ηὲ σέ. δέρμα δὲ θηρὸς ἀριφραδέως ἀγορεύει
Χειρῶν καρτερὸν ἔργον, ὅ τοι περὶ πλευρὰ καλύπτει.
Εἴπ' ἄγε νῦν μοι πρῶτον (ἵνα γνώω κατὰ θυμὸν,
Ηρως, εἴτ' ἐτύμως μαντεύομαι, εἴτε καὶ οὐκί.)
Εἰ σύ γ' ἐκεῖνος ὃν ἄμμιν ἀκουόντεσσιν ἔειπεν
Οὐ 'ξ Ελίκηθεν Αχαιός· ἐγὼ δέ σε φράζομαι ὀρθῶς.
Εἰπὲ δ' ὅπως ὀλοὸν τόδε θηρίον αὐτὸς ἔπεφνες,
Οππως τ' εὔυδρον Νεμέης εἰσήλυθε χῶρον.
Οὐ μὲν γάρ κε τοσόνδε κατ' Απίδα κνώδαλον εὕροις,
Ιμείρων ἰδέειν· ἐπεὶ οὐ μάλα τηλίκα βόσκει,
Αλλ' ἄρκτους τε σύας τε, λύκων τ' ὀλοφώϊον ἔθνος.
Τῷ καὶ θαυμάζεσκον ἀκούοντες τότε μῦθον·
Οἱ δέ νυ καὶ ψεύδεσθαι ὁδοιπόρον ἀνέρ' ἔφαντο,
Γλώσσης μαψιδίοιο χαριζόμενον παρεοῦσιν.
+ Ως εἰπὼν μέσσης ἐξηρώησε κελεύθου
Φυλεὺς, ὄφρα κίοισιν ἅμα σφίσιν ἄρκιος εἴη,
Καί ῥά τε ῥηΐτερον φαμένου κλύοι Ηρακλῆος·
Ος μιν ὁμαρτήσας τοίῳ προσελέξατο μύθῳ·
Ω Αὐγηϊάδη, τὸ μὲν ὅ, ττι με πρῶτον ἀνήρευ,

Αὐτὸς καὶ μάλα ῥεῖα κατὰ στάθμην ἐνόησας.
Ἀμφὶ δέ σοι τὰ ἕκαστα λέγοιμί κε τοῦδε πελώρου,
Ὅππως ἐκράανθεν (ἐπεὶ λελίησαι ἀκούειν)
Νόσφιν γ' ἢ ὅθεν ἦλθε· τὸ γὰρ πολέων περ ἐόντων
Ἀργείων οὐδείς κεν ἔχοι σάφα μυθήσασθαι.
Οἷον δ' ἀθανάτων τιν' ἐΐσκομεν ἀνδράσι πῆμα
Ἱρῶν μηνίσαντα Φορωνήεσσιν ἐφεῖναι.
Πάντας γὰρ Πισῆας ἐπικλύζων ποταμὸς ὣς,
Λὶς ἄμοτον κεράϊζε· μάλιστα δὲ Βεμβιναίους,
Οἳ ἕθεν ἀγχίμολοι ναῖον, ἄτλητα παθόντες.
Τὸν μὲν ἐμοὶ πρώτιστα τελεῖν ἐπέταξεν ἄεθλον
Εὐρυσθεύς· κτεῖναι δέ μ' ἐφίετο θηρίον αἰνόν·
Αὐτὰρ ἐγὼ κέρας ὑγρὸν ἑλὼν, κοίλην τε φαρέτραν,
Ἰῶν ἐμπλείην, νεόμην· ἑτέρηφι δὲ βάκτρον
Εὐπαγὲς, αὐτόφλοιον, ἐπηρεφέος κοτίνοιο,
Εὔμετρον· τὸ μὲν αὐτὸς ὑπὸ ζαθέῳ Ἑλικῶνι
Εὑρὼν, σὺν πυκινῇσιν ὁλοσχερὲς ἔσπασα ῥίζης.
Αὐτὰρ ἐπεὶ τὸν χῶρον ὅπη λὶς ἦεν ἵκανον,
Δὴ τότε τόξον ἑλὼν, στρεπτῇ ἐπέλασσα κορώνη
Νευρειὴν, περὶ δ' ἰὸν ἐχέστονον εἶθαρ ἔβησα.
Πάντη δ' ὄσσε φέρων, ὀλοὸν τέρας ἐσκοπίαζον,
Εἴ μιν ἐσαθρήσαιμι πάρος γ' ἐμὲ κεῖνον ἰδέσθαι.
Ἤματος ἦν τὸ μεσηγὺ, καὶ οὐδ' ὅπῃ ἴχνια τοῖο
Φρασθῆναι δυνάμην, οὐδ' ὠρυθμοῖο πυθέσθαι·
Οὐδέ μὲν ἀνθρώπων τὶς ἔην ἐπὶ βουσὶ καὶ ἔργοις
Φαινόμενος σπορίμοιο δι' αὔλακος, ὅντιν' ἐροίμην·
Ἀλλὰ κατὰ σταθμοὺς χλωρὸν δέος εἶχεν ἕκαστον.
Οὐ μὴν πρὶν πόδας ἔσχον, ὄρος τανύφυλλον ἐρευνῶν,
Πρὶν ἰδέειν, ἀλκῆς τε μεταυτίκα πειρηθῆναι.
Ἤτοι ὁ μὲν σήραγγα προδείελος ἔστιχεν εἰς ἥν,
Βεβρωκὼς κρειῶν τε καὶ αἵματος· ἀμφὶ δὲ χαίτας

Αὐχμη-

Αὐχμηρὰς πεπάλακτο φόνῳ, χαλεπόν τε πρόσωπον,
Στήθεά τε· γλώσσῃ δὲ περιλιχμᾶτο γένειον.
Αὐτὰρ ἐγὼ θάμνοισιν ἅμα σκιεροῖσιν ἐκρύφθην
Ἐν ῥίῳ ὑλήεντι, δεδεγμένος ὁππόθ' ἵκοιτο.
Καὶ βάλον ἆσσον ἰόντος ἀριστερὸν εἰς κενεῶνα
Τηϋσίως· οὐ γάρ τι βέλος διὰ σαρκὸς ὄλισθεν
Ὀκρυόεν, χλωρῇ δὲ παλίσσυτον ἔμπεσε ποίῃ.
Αὐτὰρ ὁ κρᾶτα δαφοινὸν ἀπὸ χθονὸς ὦκ' ἐπάειρεν
Θαμβήσας, πάντη δὲ διέδραμεν ὀφθαλμοῖσι
Σκεπτόμενος, λαμυροὺς δὲ χανὼν ὑπέδειξεν ὀδόντας.
Τῷ δ' ἐγὼ ἄλλον ὀϊστὸν ἀπὸ νευρῆς προΐαλλον,
Ἀχαλόων ὅτι μοι πρὶν ἐτώσιος ἔκφυγε χειρός.
Μεσσηγὺς δ' ἔβαλον στηθέων, ὅθι πνεύμονος ἕδρα·
Ἀλλ' οὐδ' ὣς ὑπὸ βύρσαν ἔδυ πολυώδυνος ἰὸς,
Ἀλλ' ἔπεσε προπάροιθε ποδῶν ἀνεμώλιον αὔτως.
Τὸ τρίτον αὖ μέλλεσκον, ἀσώμενος ἐν φρεσὶν αἰνῶς,
Αὐερύειν· ὁ δέ μ' εἶδε περιγληνώμενος ὄσσοις
Θὴρ ἄμοτος· μακρὴν δὲ παρ' ἰγνύῃσιν ἕλιξε
Κέρκον· ἄφαρ δὲ μάχης ἐμνήσατο· πᾶς δέ οἱ αὐχὴν
Θυμοῦ ἐνεπλήσθη, πυρσαὶ δ' ἔφριξαν ἔθειραι
Σκυζομένῳ· κυρτὴ δὲ ῥάχις γένετ' ἠΰτε τόξον,
Πάντοθεν εἰλυσθέντος ὑπαὶ λαγόνας τε καὶ ἰξύν.
Ὡς δ' ὅταν ἁρματοπηγὸς ἀνὴρ, πολέων ἴδρις ἔργων,
Ὅρπηκας κάμπτῃσιν ἐρινεοῦ εὐκεάτοιο,
Θάλψας ἐν πυρὶ πρῶτον ἐπαξονίῳ κύκλα δίφρῳ,
Τοῦ μὲν ὑπ' ἐκ χειρῶν ἔφυγεν τανύφλοιος ἐρινὸς
Καμπτόμενος, τηλοῦ δὲ μιῇ πήδησεν ὑφ' ὁρμῇ·
Ὡς ἐπ' ἐμοὶ λὶς αἰνὸς ἀπόπροθεν ἀθρόος ἆλτο,
Μαιμώων χροὸς ἆσαι. ἐγὼ δ' ἑτέρηφι βέλεμνα
Χειρὶ προεσχεθόμην, καὶ ἀπ' ὤμων δίπλακα λώπην·
Τῇ δ' ἑτέρῃ ῥόπαλον κόρσης ὕπερ αὖον ἀείρας,

Ηλασα κακκεφαλῆς· διὰ δ' ἄνδιχα τρηχὺν ἔαξα
Αὐτοῦ ἐπὶ λασίοιο καρήατος ἀγριέλαιον
Θηρὸς ἀμαιμακέτοιο· πέσεν δ' ὄγε, πρὶν ἔμ' ἱκέσθαι,
Υψόθεν ἐν γαίῃ· καὶ ἐπὶ τρομεροῖς ποσὶν ἔστη,
Νευστάζων κεφαλῇ· περὶ γὰρ σκότος ὄσσέ οἱ ἄμφω
Ηλθε, βίῃ σεισθέντος ἐν ὀστέῳ ἐγκεφάλοιο.
Τὸν μὲν ἐγὼν ὀδύναισι παραιφρονέοντα βαρείαις
Νωσάμενος, πρὶν αὖθις ὑπότροπον ἀμπνευθῆναι,
Αὐχένος ἀῤῥήκτοιο παρ' ἰνίον ἤλασα προφθάς.
Ῥίψας τόξον ἔραζε πολύῤῥαπτόν τε φαρέτρην.
Ηγχον δ' ἐγκρατέως, στιβαρὰς σὺν χεῖρας ἐρείσας
Εξόπιθεν, μὴ σαρκὸς ἀποδρύψῃ ὀνύχεσσι.
Πρὸς δ' οὖδας πτέρνῃσι πόδας στερεῶς ἐπίεζον
Οὐραίους ἐπιβάς· πλευρῇσί τε μηρ' ἐφύλασσον,
Μέχρις οἱ ἐξετάνυσσα βραχίονας, ὀρθὸν ἀείρας
Απνευστον· ψυχὴν δὲ πελώριον ἔλλαβεν ᾅδης.
Καὶ τότε δὴ βούλευον ὅπως λασιαύχενα βύρσαν
Θηρὸς τεθνειῶτος ἀπὸ μελέων ἐρύσαιμι·
Αργαλέον μάλα μόχθον· ἐπεὶ οὐκ ἔσκε σιδήρῳ
Τμητή, οὐδὲ λίθῳ, πειρωμένῳ, οὐδὲ μὲν ὕλῃ.
Ενθά μοι ἀθανάτων τὶς ἐπὶ φρεσὶ θῆκε νοῆσαι
Αὐτοῖς δέρμα λέοντος ἀναχίζειν ὀνύχεσσι.
Τοῖσι θοῶς ἀπέδειρα, καὶ ἀμφεθέμην μελέεσσιν,
Ερκος ἐνυαλίου ταμεσίχροος ὄφρά μοι εἴη.
Οὗτός τοι Νεμέου γένετ' ὦ φίλε θηρὸς ὄλεθρος,
Πολλὰ πάρος μήλοισι καὶ ἀνδράσι πήματα θέντος.

## ARGUMENTUM.

Hoc Idyllion continet brevem narrationem de interitu Penthei, regis Thebani. eum, cum orgia, id eſt, ſacra Bacchi, nova adhuc et jam primum incipientia prohibere conaretur, a matre et materteris, aliiſque Maenadibus in furorem actis, diſcerptum eſſe ferunt. tractatur idem argumentum in Bacchis Euripidis fuſius: ubi et diſputationis inter ſenes contra novas ſuperſtitiones, proque illis, graves ac dignae obſervatione commemorantur. Ovidius eandem fabulam exponit in fine 3. Metamorph. irrepſerunt ea ſacra, paulatim hominum ſuperſtitione approbata et recepta, cumque illis ſaepe gubernatoribus certamina fuerunt. quomodo corruptelae et facinorum foeditas eorum ſacrorum Romae primum deprehenſa et vindicata fuerit, commemoratur a Livio, lib. 9. Dec. 4.

# ΛΗΝΑΙ, ἢ ΒΑΚΧΑΙ,

## Εἰδύλλιον κϛ'.

Ινὼ, κ' Αὐτονόα, χὰ μαλοπάρηος Αγαύα,
Τρεῖς θιάσως ἐς ὄρος τρεῖς ἄγαγον αὐταὶ ἐοῖσαι·
Χαὶ μὲν ἀμερξάμεναι λασίας δρυὸς ἄγρια φύλλα,
Κισσόν τε ζώοντα, καὶ ἀσφόδελον τὸν ὑπὲρ γᾶς,
Ἐν καθαρῷ λειμῶνι κάμον δυοκαίδεκα βωμώς,
Τὼς τρεῖς τᾷ Σεμέλᾳ, τὼς ἐννέα τῷ Διονύσῳ.
Ἱερὰ δ' ἐκ κίστας πεποναμένα χερσὶν ἑλοῖσαι,
Εὐφάμως κατέθεντο νεοδρέπτων ἐπὶ βωμῶν,
Ὡς ἐδίδαξ', ὡς αὐτὸς ἐθυμάρει Διόνυσος.
Πενθεὺς δ' ἀλιβάτω πέτρας ἄπο πάντ' ἐθεώρει,

Σχῖνον ἐς ἀρχαίαν καταδὺς, ἐπιχώριον ἔρνος·
Αὐτονόα πρώτα νιν ἀνέκραγε δεινὸν ἰδοῦσα,
Σὺν δ' ἐτάραξε ποσὶν μανιώδεος ὄργια Βάκχου.
Ἐξαπίνας ἐπιοῦσα· τὰ δ' οὐχ ὁρόωντι βέβαλοι.
Μαίνετο μὲν τ' αὐτὰ, μαίνοντο δ' ἄρ' εὐθὺ καὶ ἄλλαι.
Πενθεὺς μὲν φεῦγεν πεφοβημένος· αἱ δ' ἐδίωκον,
Πέπλως ἐκ ζωστῆρος ἐπ' ἰγνὺ' ἀνειρύσασαι.
Πενθεὺς μὲν τόδ' ἔειπε, Τίνος κέχρησθε γυναῖκες;
Αὐτονόα τόδ' ἔειπε, Τάχα γνώσῃ πρὶν ἀκοῦσαι.
Μάτηρ μὲν κεφαλὰν μυκήσατο παιδὸς ἑλοῖσα,
Ὅσσον περ τοκάδος τελέθει μύκημα λεαίνης.
Ἰνὼ δ' αὖτ' ἔῤῥηξε σὺν ὠμοπλάτᾳ μέγαν ὦμον,
Λὰξ ἐπὶ γαστέρα βᾶσα· καὶ Αὐτονόας ῥυθμὸς ωὑτός.
Αἱ δ' ἄλλαι τὰ περισσὰ κρέα νομέοντο γυναῖκες.
Ἐς Θήβας δ' ἀφίκοντο πεφυρμέναι αἵματι πᾶσαι,
Ἐξ ὄρεος πένθημα, καὶ οὐ Πενθῆα, φέρουσαι.
Οὐκ ἀλέγω, μηδ' ἄλλος ἀπεχθέμεναι Διονύσῳ
Φροντίζοι, μηδ' εἰ χαλεπώτερα τῶν δ' ἐμόγησεν,
Εἴη δ' ἐνναέτης, ἢ καὶ δεκάτω ἐπιβαίνοι.
Αὐτὸς δ' εὐαγέοιμι, καὶ εὐαγέεσσιν ἅδοιμι.
Ἐκ Διὸς αἰγιόχω τιμὰν ἔχει αἰετὸς οὗτος.
Εὐσεβέων παίδεσσι τὰ λῷα, δυσσεβέων δ' οὔ.
Χαίροι μὲν Διόνυσος, ὃν ἐν Δρακάνῳ νιφόεντι
Ζεὺς ὕπατος μεγάλαν ἐπιγουνίδα θήκατο λύσας·
Χαίροι δ' εὐειδὴς Σεμέλα, καὶ ἀδελφεαὶ αὐτῆς
Καδμεῖαι, πολλαῖς μεμελημέναι ἡρωΐναις,
Αἳ τόδε ἔργον ἔρεξαν ὀρίναντος Διονύσου,
Οὐκ ἐπιμωμητόν. μηδεὶς τὰ θεῶν ὀνόσαιτο.

## ARGUMENTUM.

Singularis ſuavitas eſt et facilitas hujus Idyllii; ut non a Theocrito, ſed ab alio quopiam authore ſcriptum eſſe videatur: continet autem colloquium inter duos amantes, Daphnidem procum et puellam, cujus nomen non ponitur. hi poſt oſcula de conjugio diſputant; et tandem cum puella perſuaſa eſſet, faciunt furtivas nuptias. praecipuus igitur in hoc Idyllio locus eſt, antitheſis commodorum et incommodorum conjugii.

# ΟΑΡΙΣΤΥΣ ΔΑΦΝΙΔΟΣ

## ΚΑΙ ΚΟΡΗΣ,

## Εἰδύλλιον κζ'.

### ΔΑΦΝΙΣ, ΚΟΡΗ.

Τὰν πινυτὰν Ἑλέναν Πάρις ἥρπασε βωκόλος ἄλλος·
Μᾶλλον ἔμ' ἥδ' Ἑλένα τὸν βωκόλον ἐστὶ φιλεῦσα.
κ. Μὴ καυχῶ σατυρίσκε· κενὸν τὸ φίλαμα λέγουσιν.
δ. Ἐστι καὶ ἐν κενεοῖσι φιλάμασιν ἁδέα τέρψις.
κ. Τὸ στόμα μευ πλύνω, καὶ ἀποπτύω τὸ φίλαμα.
δ. Πλύνεις χείλεα σεῖο; δίδου πάλιν ὄφρα φιλάσω.
κ. Καλόν σοι δαμάλας φιλέειν, οὐκ ἄζυγα κώραν.
δ. Μὴ καυχῶ· τάχα γάρ σε παρέρχεται, ὡς ὄναρ, ἥβη.
κ. Ἁ σταφυλὶς σταφίς ἐστι, καὶ οὐ ῥόδον αὖον ὀλεῖται.
δ. Δεῦρ' ὑπὸ τὰς κοτίνους, ἵνα σοί τινα μῦθον ἐνίψω.
κ. Οὐκ ἐθέλω· καὶ πρίν με παρήπαφες ἡδέϊ μύθῳ.
δ. Δεῦρ' ὑπὸ τὰς πτελέας, ἵν' ἐμᾶς σύριγγος ἀκούσῃς.
κ. Τὴν σαυτοῦ φρένα τέρψον· ὀϊζυρὸν οὐδὲν ἀρέσκει.

δ. Φεῦ

δ. Φεῦ φεῦ, τᾶς Παφίας χόλον ἅζεο ϗ σύγε κώρα.
κ. Χαιρέτω ἁ Παφία· μόνον ἵλαος Αρτεμις εἴη.
δ. Μὴ λέγε, μὴ βάλλη σε, ϗ ἐς λίνον ἄλλυτον ἔλθης.
κ. Βαλλέτω ὡς ἐθέλοι· πάλιν Αρτεμις ἄμμιν ἀρήγοι.
Μὴ 'πιβάλης τὴν χεῖρα, ϗ εἰσέτι χεῖλος ἀμύξω.
δ. Οὐ φεύγεις τὸν Ερωτα, τὸν οὐ φύγε παρθένος ἄλλη.
κ. Φεύγω ναὶ τὸν Πᾶνα· σὺ δὲ ζυγὸν αἰὲν ἀείρεις.
δ. Δειμαίνω μὴ δή σε κακωτέρῳ ἀνέρι δώση.
κ. Πολλοί με μνώοντο, νόον δ' ἐμὸν οὔτις ἕαδε.
δ. Εἷς ϗ ἐγὼ πολλῶν, μνηστὴρ τεὸς ἐνθάδ' ἱκάνω.
κ. Καὶ τί φίλος ῥέξαιμι; γάμοι πλήθουσιν ἀνίας.
δ. Οὐκ ὀδύνην, οὐκ ἄλγος ἔχει γάμος, ἀλλὰ χορείην.
κ. Ναὶ μὰν φασὶ γυναῖκας ἑοὺς τρομέειν παρακοίτας.
δ. Μᾶλλον ἀεὶ κρατέουσι· τίνα τρομέουσι γυναῖκες;
κ. Ωδίνειν τρομέω· χαλεπὸν βέλος Εἰλειθύης.
δ. Αλλὰ τεὴ βασίλεια μογοσόκος Αρτεμίς ἐστιν.
κ. Αλλὰ τεκεῖν τρομέω, μὴ ϗ χρόα καλὸν ὀλέσσω.
δ. Ην δὲ τέκης φίλα τέκνα, νέον φάος ὄψεαι υἷας.
κ. Καὶ τί μοι ἕδνον ἄγεις γάμου ἄξιον, ἢν ἐπινεύσω;
δ. Πᾶσαν τὰν ἀγέλαν, πάντ' ἄλσεα ϗ νόμον ἑξεῖς.
κ. Ομνυε, μὴ μετὰ λέκτρα, λιπὼν ἀέκουσαν, ἀπέλθης.
δ. Οὔ μ' αὐτὸν τὸν Πᾶνα, ϗ ἤν κ' ἐθέλης με διῶξαι.
κ. Τεύχεις μοι θαλάμους, τεύχεις ϗ δῶμα ϗ αὐλάς;
δ. Τεύχω σοι θαλάμους, τὰ δὲ πώεα καλὰ νομεύω.
κ. Πατρὶ δὲ γηραλέῳ τίνα κεν τίνα μῦθον ἐνίψω;
δ. Αἰνήσει σέο λέκτρον, ἐπὴν ἐμὸν οὔνομ' ἀκούση.
κ. Οὔνομα σὸν λέγε τῆνο· ϗ οὔνομα πολλάκι τέρπει.
δ. Δάφνις ἐγὼ, Λυκίδας δὲ πατὴρ, μήτηρ δὲ Νομαίη.
κ. Εξ εὐηγενέων· ἀλλ' οὐ σέθεν εἰμὶ χερείων.
δ. Οὐδ' ἄκρα τιμήεσσα· πατὴρ δέ σοι ἐστὶ Μενάλκας.
κ. Δεῖξον ἐμοὶ σέθεν ἄλσος, ὅπῃ σέθεν ἵσταται αὖλις.

δ. Δεῦρ'

δ. Δεῦρ' ἴδε πῶς ἀνθεῦσιν ἐμαὶ ῥαδιναὶ κυπάρισσοι.
κ. Αἶγες ἐμαὶ βόσκεσθε· τὰ βωκόλω ἔργα νοήσω.
δ. Ταῦροι καλὰ νέμεσθ', ἵνα παρθένῳ ἄλσεα δείξω.
κ. Τί ῥέζεις σατυρίσκε; τί δ' ἔνδοθεν ἅψαο μαζῶν;
δ. Μᾶλα τεὰ πρώτιστα τάδε χνοάοντα διδάξω.
κ. Ναρκῶ ναὶ τὸν Πᾶνα· τεὴν πάλιν ἔξελε χεῖρα.
δ. Θάρσει κώρα φίλα· τί μοι ἔτρεμες; ὡς μάλα δειλά.
κ. Βάλλεις εἰς ἀμάραν με, καὶ εἵματα καλὰ μιαίνεις.
δ. Αλλ' ὑπὸ σοὺς πέπλους ἁπαλὸν νάκος ἠνίδε βάλλω.
κ. Φεῦ φεῦ, καὶ τὰν μίτραν ἀπέσχισες. ἐς τί δ' ἔλυσας;
δ. Τᾷ Παφίᾳ πρώτιστον ἐγὼ τόδε δῶρον ὀπάζω.
κ. Μίμνε τάλαν. τάχα τίς τοι ἐπέρχεται· ἦχον ἀκούω.
δ. Αλλήλαις λαλέοντι τεὸν γάμον αἱ κυπάρισσοι.
κ. Τὠμπέχονον ποίησας ἐμὸν ῥάκος· εἰμὶ δὲ γυμνά.
δ. Αλλην ἀμπεχόνην τῆς σῆς τοι μείζονα δώσω.
κ. Φής μοι πάντα δόμεν, τάχα δ' ὕστερον οὐδ' ἅλα δοίης.
δ. Αἴθ' αὐτὰν δυνάμαν καὶ τὰν ψυχὰν ἐπιβάλλειν.
κ. Αρτεμι μὴ νεμέσα· σῆ ἐρημιάς, οὐκέτι πιστή.
δ. Ρέξω πόρτιν Ερωτι, καὶ αὐτᾷ βῶν Αφροδίτᾳ.
κ. Παρθένος ἔνθα βέβηκα, γυνὴ δ' εἰς οἶκον ἀφέρψω.
δ. Αλλὰ γυνὴ μήτηρ, τεκέων τροφὸς, οὐκέτι κώρα.
Ως οἱ μὲν χλοεροῖσιν ἰαινόμενοι μελέεσσιν,
Αλλήλοις ψιθύριζον· ἀνίστατο φώριος εὐνή.
Χἡ μὲν, ἀνεγρομένη διέστιχε μᾶλα νομεύειν,
Ομμασιν αἰδομένη, κραδίη δέ οἱ ἔνδον ἰάνθη·
Ος δ' ἐπὶ ταυρείας ἀγέλας, κεχαρημένος εὐνᾶς.

## ARGUMENTUM.

Theocritus ad amicum Niciam, medicum Milesium, quem ante aliquot Idylliis celebravit, profecturus, uxori ejus Theugenidi, laboriosae matrisfamilias, adfert pro munere hospitali colum eburneam. cui adjungit hoc carmen, quo colum modeste commendat, et matronae industriam virtutemque celebrat. est igitur argumentum hujus Idyllii οἰκονομικὸν atque ἠθικὸν, et tamen eruditum ac suave. genus carminis est choriambicum pentametrum, sicut illud apud Catullum,

Alphene immemor atque unanimis false sodalibus, &c.
Nec facta impia fallacum hominum coelicolis placent.

Primam sedem spondaeus regulariter occupat: secundam choriambus, qui ex prima longa, mediis duabus brevibus, et ultima rursum longa, constat: tertiam et quartam, idem pes obtinet: quinto loco iambus est. nam ultima syllaba libera censetur.

# ΗΛΑΚΑΤΑ,

## Εἰδύλλιον κή.

Γλαυκᾶς ὦ φιλέριθ' ἀλακάτα δῶρον Ἀθανάας,
Γυναιξὶ νόος οἰκωφελέεσσι σὸς ἐπήβολος·
Θαρσεῦσ' ἄμμιν ὁμάρτει πόλιν ἐς Νείλεω ἀγλαάν,
Ὅππα Κύπριδος ἱρὸν καλάμω χλωρὸν ὑφ' ἀπαλῶ.
Τῆδε γὰρ πλόον εὐάνεμον αἰτεύμεθα πὰρ Διὸς,
Ὅππως ξεῖνον ἐμὸν τέρψομ' ἰδὼν κἀντιφιλήσομαι
Νικίαν, Χαρίτων ἱμεροφώνων ἱερὸν φυτόν.
Καί σε τὰν ἐλέφαντος πολυμόχθω γεγενημέναν,

Δῶρον

Δῶρον Νικίεας εἰς ἀλόχω χέρρας ὀπάσσομεν.
Σὺν τᾷ πολλὰ μὲν ἔργ' ἐκτελέσεις ἀνδρείοις πέπλοις,
Πολλὰ δ' οἷα γυναῖκες φορέοισ' ὑδάτινα βράκη.
Δὶς γὰρ ματέρες ἀρνῶν μαλακὼς ἐν βοτάνᾳ πόκους
Πέξαιντ' αὐτοέτει, Θευγενίδος γ' ἕνεκ' εὐσφύρω.
Οὕτως ἀνυσιεργός· φιλέει δ' ὅσσα σαόφρονες.
Οὐ γὰρ εἰς ἀκιρῶς οὐδ' ἐς ἀεργὼς μὲν ἐβαλλόμαν
Οππάσαι σὲ δόμως, ἁμετέρας εὖσαν ἀπὸ χθονός.
Καὶ γάρ σοι πατρὶς ἂν ὡξ Εφύρας κτίσσε ποτ' Αρχίας,
Νάσω Τρινακρίας μυελὸν, ἀνδρῶν δοκίμων πόλιν.
Νῦν μὰν οἶκον ἔχουσ' ἀνέρος ὃς πόλλ' ἐδάη σοφὰ
Ανθρώποισι νόσους φάρμακα λυγρὰς ἀπαλαλκέμεν,
Οἰκήσεις κατὰ Μίλατον ἐρατεινὰν μετ' Ιαόνων·
Ως εὐαλάκατος Θευγενὶς ἐν δαμότισιν πέλη,
Καὶ οἱ μνᾶσιν ἀεὶ τῶ φιλαοιδῶ παρέχῃς ξένω.
Κεῖνο γάρ τις ἐρεῖτω, ποτιδών σ', Η μεγάλα χάρις
Δώρῳ ξὺν ὀλίγῳ· πάντα δὲ τιμᾶντα τὰ πὰρ φίλων.

## ARGUMENTUM.

Querela et expostulatio cum amico, propter inconstantiam in amore; qua nihil crebrius neque vulgarius est in communi vita. πολυφιλία, id est, subinde mutare amicos, veteres fastidire et novos amplecti, id olim perinde probrosum atque infame habebatur, ut si qua mulier subinde alios atque alios viros admitteret. hoc vitium et hic amico suo Theocritus exprobrat; atque in fine concludit, eum qui bene audire apud homines honestos velit, non levem neque inconstantem in colendis amicitiis esse oportere. genus carminis est Dactylicum Pentametrum: prima tamen sede etiam aliquando Trochaeus est.

# ΠΑΙΔΙΚΑ.

## Εἰδύλλιον κθ'.

Οἶνος ὦ φίλε παῖ λέγεται καὶ ἀλάθεα·
Κἄμμες χρὴ μεθύοντας ἀλαθέας ἔμμεναι.
Κἠγὼ μὲν τὰ φρενῶν ἐρέω κέατ' ἐν μυχῷ·
Οὐχ' ὅλας φιλέειν μ' ἐθέλησθ' ἀπὸ καρδίας·
Γινώσκω. τὸ γὰρ ἥμισυ τᾶς ζωΐας ἔχω,
Ζᾷ τὰν σὰν ἰδίαν, τὸ δὲ λοιπὸν ἀπώλετο.
Χὤταν μὲν σὺ θέλῃς, μακάρεσσιν ἴσαν ἄγω
Αμέραν· ὄκκα δὲ οὐκ ἐθέλεις τὺ, μάλ' ἐν σκότῳ.
Πῶς ταῦθ' ἅρμενα, τὸν φιλέοντ' ἀνίαις διδῶν;
Αλλ' εἴ μοι τὶ πίθοιο, νέος προγενεστέρῳ,
Τῷ καὶ λώϊον αὐτὸς ἔχων ἔμ' ἐπαινέσαις,
Ποίησαι καλιὰν μίαν εἰν ἐνὶ δενδρίῳ,

Οππη

Οππῃ μηδὲν ἀπίξεται ἄγριον ἑρπετόν.
Νῦν δὲ τῶδε μὲν ἄματος ἄλλον ἔχεις κλάδον,
Αλλον δ' αὔριον· ἐξ ἑτέρω δ' ἕτερον ματῆς.
Καὶ μὴν σεῦ τὸ καλόν τις ἰδὼν ῥέθος αἰνέσαι,
Τῷδ' εὐθὺς πλέον ἢ τριέτης ἐγένευ φίλος·
Τὸν πρᾶτον δὲ φιλεῦντα, τριταῖον ἐθήκαο.
Ανδρῶν τῶν ὑπερηνορέων δοκέεις πνέειν.
Φίλει δ', ὧς κε ζώης, τὸν ὅμοιον ἔχειν ἀεί.
Αἰ γὰρ ὧδε ποιῆς, ἀγαθὸς μὲν ἀκούσεαι
Εξ ἀστῶν· ὁ δέ τοι ἔρος οὐ χαλεπῶς ἔχοι·
Ος ἀνδρῶν φρένας εὐμαρέως ὑποδάμναται,
Κἤμε μαλθακὸν ἐξεπόνασε σιδαρέν.
Αλλὰ περὶξ ἀπαλῶ στόματός σε πεδέρχομαι.

## ARGUMENTUM.

Genus carminis hujus Idyllii eſt Anacreonſion, vocaturque dimidium Iambicum: ſunt enim dimetra Iambica Catalectica, id eſt, quibus in fine una ſyllaba deeſt. recipiunt ubique Iambum, prima tamen et ſecunda ſede aliquando ſpondaeum. eſt autem, ſicut in aliis, ita hic quoque, Poëtica imaguncula. Aper interfector Adonidis juſſu Veneris ab Amoribus captus adducitur, qui a Venere graviter increpatus, reſpondet, ſe amore Adonidis incenſum, cum femur ipſius nudum oſculari vellet, incendio amoris victum, infelici caſu altius impreſſiſſe dentem. offert igitur ſe, cum peccaverit, ad perferendum quodvis ſupplicium, etiam ſi vivus cremandus ſit: praecipue dentes, ut qui caedis inſtrumentum fuerint, poenae devovet. Venus commiſeratione mota, ut ipſa amoris non ignara, ignoſcit illi, et vincula laxari denique jubet. ſequitur tamen ille deinde Veneris chorum, ut captivus. hac imagine fortaſſe ſignificare Poëta voluit: Venerem non tantum in homines, verum etiam in feras beſtias imperium obtinere. etſi in fine cum dentes amatorios exurit aper, hoc videtur indicare voluiſſe, has flammas ſine ordine vagantes, recta ratione refraenandas ac coërcendas eſſe.

# ΕΙΣ ΝΕΚΡΟΝ ΑΔΩΝΙΝ,

## Εἰδύλλιον λ′.

Αδωνιν ἡ Κυθήρη
Ως εἶδε νεκρὸν ἤδη,
Στυγνὰν ἔχοντα χαίταν,
Ωχράν τε τὴν παρειὰν,
Αγειν τὸν ὗν πρὸς αὑτὴν
Εταξε τὼς Ερωτας.
Οἱ δ' εὐθέως ποτανοὶ
Πᾶσαν δραμόντες ὕλαν,

Στυγνὸν

Στυγνὸν τὸν ὗν ἀνεῦρον,
Δῆσάν τε κἀπέδησαν.
Χὠ μὲν, βρόχῳ καθάψας,
Εσυρεν αἰχμάλωτον·
Ο δ', ἐξόπισθ' ἐλαύνων,
Ετυπτε τοῖσι τόξοις.
Ο θὴρ δ' ἔβαινε δειλῶς·
Φοβεῖτο γὰρ Κυθήρην.
Τῷ δ' εἶπεν Αφροδίτα,
Πάντων κάκιστε θηρῶν,
Σὺ τόνδε μηρὸν ἴψω;
Σύ μου τὸν ἄνδρ' ἔτυψας;
Ο θὴρ δ' ἔλεξεν ὧδε·
Ομνυμί σοι Κυθήρη,
Αὐτήν σε, καὶ τὸν ἄνδρα,
Καὶ ταῦτά μου τὰ δεσμὰ,
Καὶ τώσδε τὼς κυναγὼς,
Τὸν ἄνδρα τὸν καλόν σου
Οὐκ ἤθελον πατάξαι·
Αλλ' ὡς ἄγαλμ' ἐσεῖδον·
Καὶ μὴ φέρων τὸ καῦμα,
Γυμνὸν τὸν εἶχε μηρὸν,
Εμαινόμην φιλᾶσαι,
Καί μου κατεσίναζε.
Τούτους λαβοῦσα Κύπρι,
Τούτους κόλαζε, τέμνε.
Τί γὰρ φέρω περισσοὺς
Ερωτικοὺς ὀδόντας;
Εἰ δ' οὐχί σοι τάδ' ἀρκεῖ,
Καὶ ταῦτ' ἐμοῦ τὰ χείλη.
Τὸν δ' ἠλέησε Κύπρις,
Εἶπέν τε τοῖς Ερωσι
Τὰ δεσμὰ οἱ 'πιλῦσαι.
Εκ τῷ δ' ἐπηκολούθει,
Καὶ ὕλαν οὐκ ἔβαινε·
Καὶ τῷ πυρὶ προσελθὼν
Εκαιε τὼς Ερωτας.

ΘΕΟ-

# ΘΕΟΚΡΙΤΟΥ
## ΤΟΥ ΣΥΡΑΚΟΥΣΙΟΥ
## Επιγράμματα.

α'.

ΤΑ ῥόδα τὰ δροσόεντα, καὶ ἡ κατάπυκνος ἐκείνα
Ερπυλλος κεῖται ταῖς Ελικωνιάσι·
Ταὶ δὲ μελάμφυλλοι δάφναι τὶν Πύθιε Παιάν·
Δελφὶς ἐπεὶ πέτρα τοῦτό τοι ἀγλάϊσε.
Βωμὸν δ' αἱμάξει κεραὸς τράγος οὗτος ὁ μαλὸς,
Τερμίνθου τρώγων ἔσχατον ἀκρέμονα.

ΑΛΛΟ. β'.

Δάφνις ὁ λευκόχρως, ὁ καλᾷ σύριγγι μερίσδων
Βωκολικοὺς ὕμνους, ἄνθετο Πανὶ τάδε·
Τοὺς τρητοὺς δόνακας, τὸ λαγωβόλον, ὀξὺν ἄκοντα,
Νεβρίδα, τὴν πήραν ᾇ ποκ' ἐμαλοφόρει.

ΑΛΛΟ. γ'.

Εὕδεις φυλλοστρῶτι πέδῳ Δάφνι, σῶμα κεκμακὸς
Αμπαύων· στάλικες δ' ἀρτιπαγεῖς ἀν' ὄρη.
Αγρεύει δέ τυ Πὰν, καὶ ὁ τὸν κροκόεντα Πρίηπος
Κισσὸν ἐφ' ἱμερτῷ κρατὶ καθαπτόμενος,
Αντρον ἔσω στείχοντες ὁμόρροθοι. ἀλλὰ τὺ φεῦγε,
Φεῦγε μεθεὶς ὕπνου κῶμα καταγρόμενον.

ΑΛΛΟ. δ'.

Τήναν τὰν λαύραν τῶς αἱ δρύες αἰπόλε κάμψας,
Σύκινον εὑρήσεις ἀρτιγλυφὲς ξόανον,

Τρισκελὲς,

Τρισκελὲς, αὐτόφλοιον, ἀνέατον· ἀλλὰ φάλητι
Παιδογόνῳ δυνατὸν Κύπριδος ἔργα τελεῖν.
Σακὸς δ' εὖ ἱερὸς περιδέδρομεν· ἀέναον δὲ
Ρεῖθρον ἀπὸ σπιλάδων πάντοσε τηλεθάει
Δάφναις καὶ μύρτοισι καὶ εὐώδει κυπαρίσσῳ·
Ενθα πέριξ κέχυται βοτρυόπαις ἕλικι
Αμπελος· εἰαρινοὶ δὲ λιγυφθόγγοισιν ἀοιδαῖς
Κόσσυφοι ἀχεῦσιν ποικιλότραυλα μέλη·
Ξουθαὶ ἀηδονίδες μινυρίσμασιν ἀντιαχεῦσι,
Μέλπουσαι στόμασιν τὰν μελίγηρυν ὄπα.
Εζεο δὴ τηνεὶ, καὶ τῷ χαρίεντι Πριήπῳ
Εὔχε' ἀποσέρξαι τοὺς Δάφνιδός με πόθους·
Κεὐθὺς ἐπιρρέξειν χίμαρον καλόν. ἢν δ' ἀνανεύσῃ,
Τοῦδε τυχὼν ἐθέλω τρισσὰ θύη τελέσαι.
Ρέξω γὰρ δαμάλαν, λάσιον τράγον, ἄρνα τὸν ἴσχω
Σακίταν· αἴοι δ' εὐμενέως ὁ θεός.

ΑΛΛΟ. ε'.

Λῇς ποτὶ τᾶν νυμφᾶν διδύμοις αὐλοῖσιν ἀεῖσαι
Αδύ τι μοι; κἠγὼν πακτίδ' ἀειράμενος
Αρξεῦμαί τι κρέκειν· ὁ δὲ βουκόλος ἄμμιγα θελξεῖ
Δάφνις, κηροδέτῳ πνεύματι μελπόμενος.
Εγγὺς δὲ στάντες λασίας δρυὸς ἄντρου ὄπισθεν,
Πᾶνα τὸν αἰγιβόταν ὀρφανίσωμεν ὕπνου.

ΑΛΛΟ. ς'.

Α δείλαιε τὺ Θύρσι, τί τὸ πλέον εἰ καταταξεῖς
Δάκρυσι διγλήνους ὦπας ὀδυρόμενος;
Οἴχεται ἁ χίμαρος τὸ καλὸν τέκος, οἴχετ' ἐς ἅδαν·
Τραχὺς γὰρ χαλαῖς ἀμφεπίαξε λύκος·
Αἱ δὲ κύνες κλαγγεῦντι· τί τὸ πλέον, ἁνίκα τήνας
Οστέον οὐδὲ τέφρα λείπεται οἰχομένας;

## ΕΙΣ ΑΓΑΛΜΑ ΑΣΚΛΗΠΙΟΥ. ζ'.

Ηλθε ϗ ἐς Μίλητον ὁ τȢ͂ Παιήονος ὑὸς,
Ιητῆρι νόσων ἀνδρὶ ϛυνεσσόμενος
Νικίᾳ· ὅς μιν ἐπ' ἦμαρ ἀεὶ θύεσσιν ἱκνεῖται,
Καὶ τόδ' ἀπ' εὐώδȣς γλύψατ' ἄγαλμα κέδρȣ,
Ηετίωνι χάριν γλαφυρᾶς χερὸς ἄκρον ὑποςὰς
Μισθόν· ὁ δ' εἰς ἔργον πᾶσαν ἀφῆκε τέχνην·

## ΕΠΙΤΑΦΙΟΝ ΟΡΘΩΝΟΣ. η'.

Ξεῖνε, Συρηκόσιός τοι ἀνὴρ τόδ' ἐφίεται Ορθων,
Χειμερίης μεθύων μηδαμὰ νυκτὸς ἴοις.
Καὶ γὰρ ἐγὼ τοιȢ͂τον ἔχω πότμον· ἀντὶ δὲ πολλᾶς
Πατρίδος ὀθνείην κεῖμαι ἐφεσσάμενος.

## ΑΛΛΟ. θ'.

Ανθρωπε ζωῆς περιφείδεο, μηδὲ παρ' ὥρην
Ναυτίλος ἴσθι· ὡς ȣ̓ πολὺς ἀνδρὶ βίος.

## ΕΙΣ ΑΓΑΛΜΑ ΜΟΥΣΩΝ. ί.

Υμῖν τȢ͂το θεαὶ κεχαρισμένον ἐννέα πάσαις
Τὤγαλμα Ξενοκλῆς θῆκε τὸ μαρμάρινον,
Μȣσικός· ȣ̓χ ἑτέρως τὶς ἐρεῖ· ϛοφίῃ δ' ἐπὶ τῇδε
Αἶνον ἔχων, Μȣσέων ȣ̓κ ἐπιλανθάνεται.

## ΕΠΙΤΑΦΙΟΝ ΕΥΣΘΕΝΟΥΣ τȢ͂ φυσιογνώμονος. ιά.

Εὐσθενέος τὸ μναμα· φυσιγνώμων ὁ ϛοφιςὴς,
Δεινὸς ἀπ' ὀφθαλμȢ͂ ϗ τὸ νόημα μαθεῖν.
Εὖ μιν ἔθαψαν ἑταῖροι ἐπὶ ξείνης ξένον ὄντα·

Χύμ-

Χὐμνοθέτης αὐτοῖς δαιμονίως φίλος ἦν.
Πάντων ὧν ἐπέοικεν ἔχει τεθναὼς ὁ σοφιστής,
Καί περ ἄκικις ἐών· εἶχ' ἄρα κηδεμόνας.

## ΕΙΣ ΤΡΙΠΟΔΑ ΤΩ ΔΙΟΝΥΣΩ, ἀπὸ Δημοτέλους. ιβ'.

Δαμοτέλης ὁ χορηγὸς, ὁ τὸν τρίποδ' ὦ Διόνυσε,
Καί σε τὸν ἥδιστον θεῶν μακάρων ἀναθεὶς,
Μέτριος ἦν ἐν πᾶσι· χορῷ δ' ἐκτήσατο νίκην
Ανδρῶν, καὶ τὸ καλὸν καὶ τὸ προσῆκον ὁρῶν.

## ΕΙΣ ΑΓΑΛΜΑ τῆς οὐρανίας Ἀφροδίτης. ιγ'.

Η Κύπρις οὐ πάνδημος· ἱλάσκεο τὴν θεὸν εἰπὼν
Οὐρανίαν, ἁγνᾶς ἄνθεμα Χρυσογόνας
Οἴκῳ ἐν Αμφικλέους, ᾧ καὶ τέκνα καὶ βίον εἶχε
Ξυνόν· ἀεὶ δέ σφιν λῷον εἰς ἔτος ἦν
Εκ σέθεν ἀρχομένοις ὦ πότνια· κηδόμενοι γὰρ
Αθανάτων αὐτοὶ πλεῖον ἔχουσι βροτοί.

## ΕΠΙΤΑΦΙΟΝ ΕΥΡΥΜΕΔΟΝΤΟΣ. ιδ'.

Νήπιον υἱὸν ἔλειπες, ἐν ἁλικίᾳ δὲ καὶ αὐτὸς
Εὐρύμεδον τύμβου τοῦδε θανὼν ἔτυχες.
Σοὶ μὲν ἕδρα θείοισι μετ' ἀνδράσι· τὸν δὲ πολῖται
Τιμασεῦντι, πατρὸς μνώμενοι ὡς ἀγαθοῦ.

## ΕΙΣ ΤΟ ΑΥΤΟ. ιε'.

Γνώσομαι εἴ τι νέμεις ἀγαθοῖς πλέον, ἢ καὶ ὁ δειλὸς
Εκ σέθεν ὡσαύτως ἴσον ὁδοιπόρ' ἔχει.
Χαιρέτω οὗτος ὁ τύμβος, ἐρεῖς· ἐπεὶ Εὐρυμέδοντος
Κεῖται τῆς ἱερῆς κοῦφος ὑπὲρ κεφαλῆς.

## ΕΙΣ ΑΝΑΚΡΕΟΝΤΟΣ ΑΝΔΡΙΑΝΤΑ.

ιϛ'.

Θᾶσαι τὸν ἀνδριάντα τοῦτον ὦ ξένε
Σπουδᾷ, καὶ λέγ', ἐπὰν ἐς οἶκον ἔνθῃς,
Ανακρέοντος εἰκόν' εἶδον ἐν Τέῳ,
Τῶν πρόσθ' εἴ τι περισσὸν ᾠδοποιῶν.
Προσθεὶς δὲ χὤτι τοῖς νέοισιν ἅδετο,
Ερεῖς ἀτρεκέως ὅλον τὸν ἄνδρα.

## ΕΙΣ ΕΠΙΧΑΡΜΟΝ. ιζ.

Α τε φωνὰ Δώριος, χὠνὴρ ὁ τὰν κωμῳδίαν
Εὑρὼν Επίχαρμος.
Ω Βάκχε, χάλκεόν νιν ἀντ' ἀλαθινοῦ
Τὶν ὧδ' ἀνέθηκαν·
Τὸν Συρακόσσαις ἐνίδρυνται πελωριστᾷ πόλει
Οἷ' ἀνδρὶ πολίτᾳ.
Σωρὸν γὰρ εἶχε χρημάτων μεμναμένοις
Τελεῖν ἐπίχειρα.
Πολλὰ γὰρ ποτὶ τὰν ζωὰν τοῖς παισὶν εἶπε χρήσιμα·
Μεγάλα χάρις αὐτῷ.

## ΕΠΙΤΑΦΙΟΝ ΚΛΕΙΤΑΣ,

τροφοῦ Μηδείου. ιη'.

Ο μικκὸς τόδ' ἔτευξε τᾷ Θρεΐσσᾳ
Μήδειος τὸ μνᾶμ' ἐπὶ τᾷ ὁδῷ, κἠπέγραψε Κλείτας.
Εξεῖ τὴν χάριν ἡ γυνὴ ἀντὶ τήνων
Ων τὸν κοῦρον ἔθρεψ'· ἔτι μὴν ἔτι χρησίμη καλεῖται.

ΕΙΣ

## ΕΙΣ ΑΡΧΙΛΟΧΟΝ. ιθ'.

Αρχίλοχον καὶ στᾶθι καὶ εἴσιδε τὸν πάλαι ποιητὰν
Τὸν τῶν ἰάμβων· οὗ τὸ μυρίον κλέος
Διῆλθε κἠπὶ νύκτα καὶ πρὸς ἀῶ.
Η ῥά μιν αἱ Μοῦσαι καὶ ὁ Δάλιος ἠγάπευν Απόλλων,
Ως ἐμμελής τ' ἔγεντο κἠπιδέξιος
Επεά τε ποιεῖν, πρὸς λύραν τ' ἀείδειν.

## ΕΙΣ ΑΝΔΡΙΑΝΤΑ ΠΕΙΣΑΝΔΡΟΥ,

τοῦ τὴν Ἡράκλειαν ποιήσαντος. κ'.

Τὸν τοῦ Ζανὸς ὅδ' ὑμῖν υἱὸν ἀνὴρ,
Τὸν λεοντομάχαν, τὸν ὀξύχειρα,
Πρῶτος τῶν ἐπάνωθε μουσοποιῶν
Πείσανδρος ξυνέγραψεν ὡκ Καμείρου,
Χὤσους ἐξεπόνασεν εἶπ' ἀέθλους.
Τοῦτον δ' αὐτὸν ὁ δᾶμος (ὡς σάφ' εἰδῇς)
Εστασ' ἐνθάδε, χάλκεον ποιήσας,
Πολλοῖς μασὶν ὄπισθε κἠνιαυτοῖς.

## ΕΙΣ ΙΠΠΩΝΑΚΤΑ. κα'.

Ο μουσοποιὸς ἐνθάδ' Ιππώναξ κεῖται.
Εἰ μὲν πονηρὸς, μὴ προτέρχου τῷ τύμβῳ·
Εἰ δ' ἐσσὶ κρήγυός τε καὶ παρὰ χρηστῶν,
Θαρσέων καθίζου· κἂν θέλῃς, ἀπόβριξον.

## ΤΟΥ ΑΥΤΟΥ

εἰς τὴν ἑαυτοῦ βίβλον. κβ'.

Αλλος ὁ Χῖος· ἐγὼ δὲ Θεόκριτος ὃς τάδε γράψα,

Εἷς

Εἷς ἀπὸ τῶν πολλῶν εἰμὶ Συρηκοσίων,
Υἱὸς Πραξαγόραο περικλειτῆς τε Φιλίνης·
Μοῦσαν δ' ὀθνείην οὔποτ' ἐφελκυσάμην.

Carmina quaedam hactenus desiderata, ad finem Παιδικῶν, sumta ex notis Is. Casauboni ad Diogenem Laërtium.

Αλλὰ πέριξ μ' ὀμνάσθην, ὅτι πέρυσιν ἦσθα νεώτερος,
Χὤτι γηραλέοι πέλομες πρὶν ἀποπτύσαι,
Καὶ ῥυσσοὶ, νεότατα δ' ἔχειν παλινάγρετον
Οὐκ ἔστι· πτέρυγας γὰρ ἐπωμαδίας φορεῖ·
Κἄμμες βαρδύτεροι τὰ ποτήμενα συλλαβεῖν.
Ταῦτα χρὴ νοέοντα πέλειν ποτιμώτερον,
Καί μοι τὠραμένῳ συνερᾶν ἀδόλως σέθεν,
Oπως ἀνίκα τὰν γένυν ἀνδρείαν ἔχῃς,
Αλλάλοισι πελώμεθ' Ἀχιλλήϊοι φίλοι.
Αἰ δὲ ταῦτά γε φέρειν ἀνέμοισιν ἐπιτρέπεις,
Εν θυμῷ δὲ λέγεις, Τί με δαιμόνι' ἐνοχλεῖς;
Νῦν μὲν δὴ κἠπὶ τὰ χρύσεα μᾶλ' ἕνεκεν σέθεν
Βαίην, καὶ φύλακον νεκύων πέδα Κέρβερον.
Τόκα δ', οὐδὲ καλεῦντος ἐπ' αὐλείαις θύραις
Προμόλοιμί κε, παυσάμενος χαλεπῶ πόθω.

ΤΕΛΟΣ.

# ΠΙΝΑΞ

ΤΩΝ ΧΡΗΣΙΜΟΤΕΡΩΝ

ΕΝ ΤΟΙΣ ΕΙΣ ΤΑ ΤΟΥ

# ΘΕΟΚΡΙΤΟΥ

# ΣΧΟΛΙΟΙΣ.

In ſequenti Tabula, quae eſt quaſi Scholiorum epitome, Literae Graecae notant Idyllium; Figurae, verſum Idyllii.

BIBLIOTHECA BODLEIANA

# Π Ι Ν Α Ξ

## ΤΩΝ ΧΡΗΣΙΜΟΤΕΡΩΝ

## ΕΝ ΤΟΙΣ ΕΙΣ ΤΑ ΤΟΥ

# ΘΕΟΚΡΙΤΟΥ

## ΣΧΟΛΙΟΙΣ.

### Α.

Α ὅτι τὸ α κατά τινας ἐν τῷ ἁδὺ ψιλοῦται. οἱ γὰρ Δωριεῖς τρέποντες τὸ η τὸ δασὺ, εἰς α ψιλούμενον τρέπουσιν, ὑπεξαιρουμένων τῶν ἄρθρων. Ἕτεροι δὲ λέγουσιν ὅτι εἰ μὲν ἀληθεύουσιν οὗτοι, ψεύδεται ὁ Θεόκριτος, πάνθ᾽ ἅλιος γράφων, καὶ, Οὐχ᾽ ἁμῖν τὸν ἔρωτα, καὶ, —τί ποθ᾽ ἁδύ. ά. 1.
Ἆβαι, ἀντὶ τοῦ ἡβῶσαι καὶ ἀκμάζουσαι, ἐν τῷ, --- ἐντὶ γὰρ ἆβαι· γράφεται δὲ τετραχῶς ἐν τοῖς παλαιοῖς τῶν ἀντιγράφων, ἆβαι, αὖαι, ἆζαι, αὐταί. έ. 109.
ἅβας, τῆς νέας ἡλικίας. ά. 44.
ἀγαστὸν, ἔκπληξιν ἔχον, διὰ τὰ ἐν αὐτῷ γινόμενα. ά. 126.
ἀγγέλλειν, καὶ ὅτι διαφέρει τὸ ἀγγέλλειν καὶ τὸ μηνύειν. μηνύειν γάρ ἐστι, τὸ κλέπτοντα τινὰ δεικνύειν, ἢ φεύγοντα, ἢ τοιοῦτό τι ποιοῦντα· ἀγγέλλειν δὲ, τὸ ἀφ᾽ ἑαυτοῦ διακομίζειν λόγους πρός τινα· οὕτω διαφέρει πάλιν ὁ μηνυτὴς καὶ ὁ ἄγγελος. τὸ ἄγγελος δὲ ἀντὶ τοῦ μηνυτὴς ἐν τῷ, πολλάκι πεμψεῖ Αγγελον. ς'. 31.
ἄγκη, τὰ κοῖλα τῶν ὀρῶν. ή. 33.
ἄγρια δένδρη, καὶ ὅτι τῶν ἀγρίων ἐστὶν, ἐλατη, πεύκη, ἄρ-

 κευθος,

κευθος, μελία, οἴα, ϗ ἀναρύκα, ἣν καλȣ͂σι φελλόδρυν. ε΄. 97.
ἀγριέλαιον, κότινον, ᾧ οἱ νικήσαντες ϛεφανȣ͂νται. δ΄. 7.
ἀγριομελιντζάνα, εἶδος λαχάνȣ. ί. 37.
ἀγροιὼ, ὄνομα κύριον. ἢ τὴν ἀγροικικὴν λέγει τὴν ἐπὶ τῶν ἀγρῶν τρεφομένην. γ΄. 31.
ἄγρωϛις, ἥ τις παρὰ τοῖς γεωργοῖς καλεῖται ἀγρία· ἄλλοι δὲ βοτάνην εἶναι φασὶν πρασοειδῆ, ἣν ἰδιωτικῶς φασὶ κολλητζίδαν. ιγ΄. 42.
ἀγχίθυρος, ἐπιῤῥηματικῶς ἀντὶ τȣ͂ πλησίον. β΄. 71.
ᾄδειν, ϗ ὅτι διαφέρει τȣ͂ συρίζειν, ϗ τȣ͂ αὐλεῖν ϗ τῶν τοιȣ́των· τῷ, τὰ μὲν, μέλος ἔχειν μόνον· τὸ δὲ ᾄδειν, ἐπὶ λόγȣ λέγεσθαι ἐμμελῶς. α΄. 3.
ἀδίαντον, βοτάνη τις. ἐϛὶ δὲ ὅμοιον τῷ πηγάνῳ, τὰ φύλλα ἔχον μικρότατα ϗ μέλανα, δίχα καυλȣ͂· καὶ ὅτι ἄνθος ȣ̓κ ἔχει, ȣ̓δὲ καρπὸν, ῥίζαν δὲ μόνον ἄχρηϛον ϗ λεπτήν. καλεῖται δὲ παρὰ τὸ μὴ δεύεσθαι ὕδατι. ιγ΄. 41.
ἀδώνιοι κῆποι, ϗ ὅτι εἰώθασιν ἐν τοῖς Ἀδωνίαις πυροὺς ϗ κριθὰς σπείρειν ἔν τισι προαϛείοις, ϗ τȣ̀ς φυτευθέντας κήπȣς Ἀδωνίȣς προσαγορεύειν. ιζ. 112.
Ἄδωνις, ϗ ὅτι λέγȣσι περὶ τȣ͂ Ἀδώνιδος, ὅτι καὶ ἀποθανὼν, ἓξ μῆνας ἐποίησεν ἐν ταῖς ἀγκάλαις τῆς Ἀφροδίτης, ὥσπερ ϗ ἐν ταῖς ἀγκάλαις τῆς Περσεφόνης, καὶ κατά τι. γ΄. 48.
ἄζα, τὸ καταλειφθὲν ἐν τοῖς ἀγγείοις. ε΄. 139.
ἀηδὼν, ἀπὸ τȣ͂ ἀείδειν. ζ΄. 139.
ἄθως, ὄρος Θρᾴκης. ϗ ὅτι καλεῖται ȣ̔́τως ἀπό τινος Αθȣ γίγαντος. ζ΄. 76.
αἴγειρος, ϗ ὅτι ἐνίοτε μὲν ἐπὶ ἀρσενικȣ͂, ἐνίοτε δὲ ἐπὶ θηλυκȣ͂ λαμβάνεται. ζ΄. 7.
αἴγιλος, δῆμος τῆς Ἀττικῆς ἀπό τινος φυλῆς Ἥρωος Αἰγίλȣ.

γίλυ. ἔςι δὲ καὶ Λακωνικὸν χωρίον· τινὲς δὲ ὅτι ἐςὶ καὶ νῆσος μεταξὺ Κρήτης καὶ Λακωνικῆς ὕτω καλυμένη. α΄. 147.
αἰγίπυρος, φυτὸν ἀκανθῶδες· φύλλον δὲ ἔχει πλατὺ ὥσπερ φακός. ἔςι δὲ γλαυκίζυσα εἰς ἕλκη φλεγμαίνοντα ἀγαθή. δ΄. 25.
Αἰγύπτιοι, καὶ ὅτι ἀπατηλὸν τὸ ἔθνος. ιϛ΄. 48.
Αἴγων, καὶ ὅτι ὐκ ἀναγέγραπται ὁ Αἴγων νενικηκὼς Ὀλυμπια. δ΄. 6.
αἰθαλίωνες τέττιγες, παρὰ τὸ αἴθεσθαι ὑπὸ καύματος· ὅταν γὰρ ἐςι καῦμα μᾶλλον φθέγγονται. ἢ διὰ τὸ αἴθεσθαι ὑπὸ τῦ ἡλίυ· ἢ οἱ τῇ θέρμῃ τῦ ἡλίυ χαίροντες. ζ΄. 138.
αἰθαλόεν πέτευρον, διὰ τὸ αἴτιον εἶναι αἰθάλης κατά τινας, ἢ ἀπὸ τῦ αἴθεσθαι λίαν. ιγ΄. 13.
αἶθε, Δωρικὸν, Ἰωνικὸν τὸ εἴθε· ἐςὶ δὲ ἐπίρρημα εὐκτικόν. ζ΄. 86.
αἶκα, καὶ ὅτι τὸ αἶκα ἀντὶ τῦ εἴκον ἐςί· τὴν γὰρ ει δίφθογγον τρέπυσιν οἱ Δωριεῖς εἰς τὴν αι. τὸ δὲ ἐψιλὸν, εἰς α βραχύ· οἷον, εἴκον αἶκα, ἄρτεμις ἄρταμις. α΄. 4.
αἱμασιαὶ, παρ' ὅσον πλήρεις αἵματος γίνονται οἱ εἰσερχόμενοι ἐπ' αὐταῖς, διὰ τὸ ἀκανθώδεις αὐτὰς εἶναι. α΄. 47.
αἶμος, ὄρος Θρᾴκης ἀπὸ Αἵμυ τῦ Βορέυ καὶ Ὠριθείας. ζ΄. 76.
αἶνος, πόλεως ὄνομα. ζ΄. 112.
αἴξ, καὶ ὅτι κοινὸν ὄνομα τὸ αἴξ, ὡς ἔλαφος, ἄνθρωπος, ἵππος, παρὰ ποιηταῖς· καὶ ὅτι καὶ ἐπὶ τῦ ἄρρενος, τὸν αἶγα λέγυσι. α΄. 6.
Αἰολεῖς, καὶ ὅτι Ἀχίλλεύς, καὶ Πήλεύς, καὶ βασίλεύς βαρυτόνως λέγυσιν οἱ Αἰολεῖς· ὁμοίως καὶ τὸ Λυκώπευς. καὶ ὅτι διὰ τῦτο ἡ τῶν εἰς ὡς γενικὴ παρ' αὐτοῖς προπαροξύνεται Λυκώπεος. ζ΄. 4.

Αἰολικόν. ὅτι Αἰολικὸν θαήμα γράφεται ἔν τισι· ἐςὶ δὲ Αἰολικὸν τὸ ἀπατητικόν· αἰολίζω γὰρ τὸ ἀπατῶ. ἢ Αἰολικὸν τὸ Αἰτωλικόν· Αἰολεῖς γὰρ οἱ Αἰτωλοί. ἢ Αἰολικὸν, ποικίλον· τοῦτο γὰρ δύναται τὸ αἰολίζω· καὶ ὅτι οἱ Αἰολεῖς ἐπὶ ἀπάτῃ διαβάλλονται. α΄. 56.

αἰπολικὸν θάημα, ἤγουν θαῦμα οἷον ὁ αἰπόλος ἂν θαυμάσῃ διὰ τὸ κάλλος. α΄. 56.

αἰπόλος, ἀντὶ τοῦ ποιμήν. ϛ΄. 7.

Αἴσωρος, ποταμὸς διὰ μέσης τῆς πόλεως τῶν Κροτωνιατῶν ῥέων εἰς τὴν θάλασσαν· ἔςι δὲ καὶ ἄλλος τῆς Σικελίας. δ΄. 17.

ἀκάνθη, κινάρα. ϛ΄. 15.

ἀκάνθης χαῖται, οἱ πάπποι. ϛ΄. 16.

ἀκανθιλίδες, ὄρνεα ἃ καὶ ἀκανθίδες. ζ΄. 141.

ἀκανθὶς, ὄρνεον ποικίλον καὶ λιγυρὸν ἐπ᾽ ἀκανθῶν διατρίβον· καλεῖται δὲ καὶ ποικιλὶς διὰ τὴν χροιάν. ζ΄. 141.

ἄκις, ποταμὸς Σικελίας. α΄. 69.

ἀκράτισον, ἀντὶ τοῦ ἄγευςον, πάλαι δὲ οἱ μέλλοντες πολεμεῖν, πρωΐας ἔτι οὔσης, ὀλίγον τινὰ ἤσθιον ἄρτον, καὶ ἄκρατον οἶνον ἔπινον, ὡς θερμοὶ ὦσι καὶ μὴ δειλιῶσιν, ὃ καὶ ἀκρατισμὸν ἐκάλουν. α΄. 51.

ἄκτιον Πᾶνα, τὸν κυνηγόν. κατά τινας δὲ τὸν Ἀττικόν. οἱ δὲ τὸν Ἀπόλλωνα φασὶ τὸν ἐπὶ τῆς ἀκτῆς ἱδρυμένον. ε΄. 14.

ἄκυλος, ὁ τοῦ πρίνου καρπός. ε΄. 94.

ἀλάβαςρα, σκεύη μύρων δεκτικά. ιζ΄. 114.

ἀλεὺς, ποταμός τις Σικελίας· καὶ ὅτι ἐλέγετο οὕτω τόπος τις ἐν Κῷ. ε΄. 123. καὶ ὅτι δῆμος τῆς Κῷ, ἀπό τινος Ἀλέντος οὕτω λεγόμενος, ἢ ἀπὸ Ἀλεντίου τινὸς βασιλέως. ζ΄. 1.

ἀλιθίνην, ματαίαν, ἀλλοτρίαν, πεπλανημένην· ἀπὸ τȣ̃ ἀλῶ τὸ πλανῶ. ιϛ΄. 9.

ἁλιόκαυϛον, τὸ ὑπὸ ἡλίȣ κεκαυμένον. ι΄. 26.

ἄλκιμος ϗ Κρότων. ὅτι Αἰακȣ̃ ὑιοί. δ΄. 32.

ἀλκυόνες, θρηνητικὸν ζῶον παρὰ τοῖς αἰγιαλοῖς νεοττεῦον, παρὰ τὸ ἐν ἁλὶ κύειν. ζ΄. 57. ϗ ὅτι ὄρνιθες θαλάσσιαί εἰσιν, ὧν τικτȣσῶν ϛορέννυται ἡ θάλασσα. ζ΄. 59.

ἀλκυονίδες ἡμέραι, δεκατέσσαρες ἡμέραι ὅταν γεννᾷ ἀλκυὼν περί τὰς χειμερινὰς τροπὰς, ἑπτὰ πρὸ τῆς γεννήσεως, ϗ ἑπτὰ μετὰ τὴν γέννησιν· φασὶ δὲ τότε εὐδιάζειν. ζ΄. 57.

ἀλκυὼν, θυγάτηρ Αἰόλȣ ϗ Κανώβης, γυνὴ δὲ Κήϋκος. ζ΄. 57.

ἀλλάπαθα, τὰ κενώματα παρ' Ἀττικοῖς. β΄. 86.

ἄλλεται ὀφθαλμός μȣ ὁ δεξιός. ὅτι λέγειν εἰώθασιν, ὅτι οἱ ὀφθαλμοί μȣ ὄψονταί τινα τῶν οἰκείων ἐὰν ἄλλωνται. γ΄. 37.

ἀλȣσίας ἄντρον, ἀπὸ ποταμȣ̃ Ἀλȣσίȣ. ζ΄. 78.

ἀλωὰ, ἅλως, ϗ ἄλως· ϗ ὅτι ἄλως ἀπὸ τȣ̃ ἀλίζειν ἤγουν συναθροίζειν. ζ΄. 34.

ἀλωὰ, ὅτι δὲ σημαίνει· κυρίως μὲν γὰρ λέγεται ὁ ἀμπελόφυτος τόπος· λέγεται δὲ ἀλωὰ, ϗ ὁ δενδροφόρος τόπος, ϗ ὁ λαχηνοφόρος· ϗ ὅτι ἡ ἅλως λέγεται ϗ ἀλωά. α΄. 46.

ἀλωὰς Δημήτηρ ϗ ἀλωὶς, παρὰ τὴν ἀλωάν. ζ΄. 155.

ἄμαθος, ἡ κόνις. β΄. 27.

ἀμαθύνειν, ἄμαθον ποιῆσαι. β΄. 27.

ἀμάλη, ϗ ὅτι συνέϛηκεν ἐκ δραγμάτων ἑκατὸν ϗ διακοσίων. ι΄. 44.

ἀμαλλοδέται, οἱ τὰ θεριζόμενα συνδεσμοῦντες. ι΄. 44.

ἀμβροσία, ἡ θεῶν τροφή. ζ΄. 82.

ἄμμιν, ἡμῖν, τροπῇ τȣ̃ α εἰς η Δωρικῶς, ϗ προσθέσει τȣ̃ μ Αἰολικῶς, ϗ ἐν ὑπερβιβασμῷ τȣ̃ τόνȣ. α΄. 102.

ἀμνίδες, τὰ μικρὰ προβάτια, οἱονεὶ ἀμεννηνά. ε'. 3.
ἀμνοφόρους, ἀμνίδας καὶ βρέφη φοροῦσας. ια'. 41.
ἀμολγεὺς, ἀγγεῖον δεκτικὸν γάλακτος. ή. 87.
ἄμπυκι, περικεφαλαίᾳ, ἀπὸ τοῦ ἀμπέχειν. α'. 33.
ἀμύκλαι, πόλις Λακωνική. ί. 35.
ἀμύκλαι, εἶδος ὑποδήματος, ἀπὸ Ἀμυκλαίου τοῦ πρῶτον ὑποδήματα εὑρόντος. ί. 35.
ἀμυκλαῖον παιδίον, τὸ ἐκ τῶν Ἀμυκλῶν. ί. 35.
ἄμυλον, τὸ κοινῶς λεγόμενον καταστατὸν, ὅπερ ἐστι τὸ γαλακτῶδες τοῦ σίτου βεβρεγμένου καὶ σεσημμένου, καὶ ἀποπιεσμένου, εἶτα τῷ ἡλίῳ ξηραινόμενος. θ'. 21.
ἄμυλον, τροφὴ μαλακή. θ'. 21.
ἄμυλος, εἶδός τι ἄρτου ἐκ τῶν σατοίων πυρῶν γινομένου, ἢ ἄρτος ἄνευ μύλου γινόμενος· ἀποβρέχοντες γὰρ τὸν πυρὸν ἀποθλίβουσι. θ'. 21.
Ἀμύντας καὶ Χρύσιππος, ἰατροὶ Ῥόδιοι. καὶ ὅτι ἐπιβουλεύοντες ἔτυχον σὺν τῇ Ἀρσινόῃ τῇ Λυσιμάχου τῷ Πτολεμαίῳ τῷ Φιλαδέλφῳ. ιζ'. 128.
ἀμύσσω, κόπτω· κυρίως δὲ ἀμύσσω, τὸ διὰ ξυροῦ τὴν σάρκα τέμνω. ιγ'. 71.
ἀμυχαὶ, αἱ τοῦ δέρματος τομαί. ιγ'. 71.
ἀμφίθυρον, τὸ δίθυρον. ἀμφίθυρον γὰρ καὶ δίπτυχον, ταυτό ἐστι. δι' ἀμφιθύρου, δι' οἴκου τοῦ διθύρου. ιδ'. 42.
ἀμφοτέρῃσι, λείπει τὸ χερσί· διὰ τοῦ ἀμφοτέρῃς δὲ τὸ δαψιλὲς ἐμφαίνει. ζ'. 157.
ἀναβάλλω, καὶ ὅτι τὸ ἀναβάλλω σημαίνει δέ· τὸ προοιμιάζω, τὸ ἀνακρούω, τὸ ἐνδύομαι, καὶ τὸ ἀπαρνοῦμαι. ς'. 21.
ἄνακτος, δεσπότου. ζ'. 97.
ἀνάλιπος, ἀνυπόδητος· ἦλιψ γὰρ τὸ ὑπόδημα. δ'. 56.
ἄναπος, ποταμὸς ἐν Συρακούσαις τῆς Σικελίας· εἴρηται δὲ ὡς
ἄνευ

ἄνευ πόσεως ὤν, καὶ βληχρὸν ἔχων ὕδωρ· ἢ παρὰ τὸ τοῖς ποσὶ μὴ διαβατὸς εἶναι. α΄· 68. καὶ ζ΄. 151.

ἄνδηρα, τὰ ἄνθη, ἢ τὰ ἄκρα· κυρίως δὲ ἄνδηρα, τὰ ἐπάνω τῶν ὀχετῶν τῶν ὑγρῶν, ἤτοι τὰ χείλη τοῦ ποταμοῦ, παρὰ τὸ ἄνω διερὰ εἶναι· ἢ οἱ ἔνυγροι τόποι, ἢ τὰ τῶν ποταμῶν ἀναχωρήματα. ε΄. 93.

ἀνδρίον, ἀνδράριον, ὑποκοριστικῶς, ἀνθρωπάριον. ε΄. 40.

ἀνέλπιστον, ὃ οὐκ ἐλπίζει τις λαβεῖν, ἢ κατορθῶσαι, ἢ τοιοῦτό τι· ἀνέλπιστον δὲ καὶ τὸ ἐλπίδος ἐστερημένον. δ΄. 42.

ἀνεμώνη, ἄνθος ἄοδμον, ὅ φασι ἀναδοθῆναι ἐκ τοῦ αἵματος τοῦ Ἀδώνιδος· φασὶ δὲ οἱ ταῦτα δεινοὶ δύο εἶναι τὰς ἀνεμώνας· τὴν μὲν ἄνθος ἔχουσαν μέλαν, τὴν δὲ φοινίκεον· καὶ ὅτι φαννίδες λέγονται παρὰ Λάκωσιν. ε΄. 92.

ἄνηβοι, ἀτελεῖς τὴν ἡλικίαν· ἄνηβοι γὰρ οἱ δωδεκαετεῖς καὶ κατωτέρω, ἔνηβοι οἱ πεντεκαιδεκαετεῖς καὶ πορρωτέρω. η΄. 3.

ἀνηθίνοις στεφάνοις ὅτι ἐχρῶντο. ζ΄. 63.

ἄνηθον, κατά τινας πᾶν ἄνθος, παρὰ τὸ ἄνω θεῖν ἐστι· ἢ ἄνηθον, τὸ μάλαθρον διὰ η. ἄνισον δὲ διὰ ι τὸ γλυκάνισον. ζ΄. 63.

ἄνθεα, τὰ ἐπιπάμματα τῶν ἄρτων· λέγει δὲ τὰ σήσαμα. ιζ΄. 116.

ἀνθερίκεσσι, καὶ ὅτι ὁ καυλὸς τοῦ ἀνθερίκου ἀνθέριξ καλεῖται, ὅσον πηχυαῖος ὤν· ἀνθέρικος δὲ ὁ τῆς ἀσφοδέλου καρπός· Ἀπολλόδωρος δὲ ὁ Δωριεὺς φησὶν οὐ λέγεσθαι τῆς ἀσφοδέλου καυλόν. ὁ δὲ Νεοπτόλεμος γελοίως ᾠήθη τὸν ἀνθέρα τοῦ στάχυος. α΄. 521.

Ἀντίοχος, ὁ βασιλεὺς Συρίας, Ἐχεκράτιδος υἱὸς καὶ Σύριδος. ιϛ΄. 34.

ἀντῳδή, ὅταν λαλῇ τις ᾠδὴν ἄλλην καὶ ἄλλην ἀποκρίνεται. α΄. 73.

ἀνυζάμην τὸν ἀμνὸν, τὴν νίκην ἔλαβον. έ. 144.
ἄξενον, κακόξενον. ιγ΄. 75.
ἀπαρέσκομαι, ἐκ ἀποδέχομαι. α΄. 61.
ἀπεκρίθην, ἀντὶ τῦ ἀπεκρινάμην· δηλοῖ δὲ ϗ ἀπεκρίθην τὸ ἐχωρίϛην. ζ΄. 74.
ἀπέσβας, ἐξέλιπες, ἀπέθανες. δ΄. 39.
ἀπευκτὸς ϗ ἀπευκταῖος, ὁ μισητός. ί. 50.
ἀπίοιο πεπαίτερος, ἀπίϐ χαυνότερος. ζ. 120.
ἄπις ϗ κλεύνικος. ιδ΄. 13.
ἀποβάλλω, ἀποῤῥίπτω, προσβάλλω δὲ προσκρέω. τὸ ἀποβάλλειν δὲ νῦν μισεῖν, ἐν τῷ —τί τὸν φιλέοντ᾽ ἀποβάλλη. ια΄. 19.
ἀποισῆ, κομίσῃ, ὡς τὸ λαψῆ ἀντὶ τῦ λάψῃ· τὺς γδ μέλλοντας οἱ Δωριεῖς περισπῶσι. α΄. 3.
ἀπόκομμα πέτρας, πέτρινε, λίθινε, σκληρότατε. ί. 7.
ἀποϛέρξαιμι, καταφρονήσαιμι. ιδ΄. 50.
ἀποτρώγϛς, μειοῖς ϗ ἐλαττοῖς. ί. 6.
ἀρατεία εἰσβολὴ, ϗ ὅτι ταύτῃ κέχρηται ὁ Θεόκριτος ἐν τῷ, Ἐκ Διὸς ἀρχώμεσθα. ιζ΄. 1.
Ἄρατος, ϗ ὅτι πρὸς τῦτον διαλέγεται ὁ ποιητὴς, ϗ ὅτι συγκεχρονίκει τῷ Ἀράτῳ τῷ τὰ φαινόμενα γράψαντι ὁ Θεόκριτος. ϛ΄. 2.
ἀρβύλη ϗ ἀρβυλὶς, παρὰ Θεοκρίτῳ ὑποδήματος εἶδος. ζ΄. 26.
ἀργεία, ἡ Δηϊπύλη, τῦ Διομήδϐς ἡ μήτηρ. ιζ΄. 53.
Ἀρέθϐσα, πηγὴ ἐν Συρακϐσαις τῆς Σικελίας, εἰς ἣν εἰσρεῖ ὁ ἐξ Ἀρκαδίας Ἀλφειὸς ποταμός. ἔϛι δὲ καὶ ἐν Εὐβοίᾳ Ἀρέθϐσα, ϗ ἄλλη ἐν Σάμῳ. α΄. 117.
ἀρέθϐσα, πᾶσαι αἱ κρῆναι κατὰ τὸν Ἐπαφρόδιτον. α΄. 117.
ἀρεσαίμην, εὐάρεϛος δόξαιμι. α΄. 60.

ἀρέσκωτικὶ, ἀντὶ τοῦ ἀρεστὸς αὐτῷ φαίνομαι· Ἀττικῶς δὲ μετὰ αἰτιατικῆς. α΄. 60.

ἄριστις, ὁ κιθαρῳδός. ζ΄. 99.

Ἀρκαδικὴ ἑορτὴ, καὶ ὅτι ἐν τῇ Ἀρκαδίᾳ ἑορτὴ ἐτελεῖτο ἐν ᾗ οἱ παῖδες τὸν Πᾶνα σκίλλαις ἔτυπτον, ὅτε οἱ χορηγοὶ λεπτὸν ἱερεῖον ἔθυον. καὶ ὅτι καὶ ἐνίους οἱ παῖδες εἰ εὐθηρίας οὐκ ἐπέτυχον. ζ΄. 106.

ἄρκευθος, ὄνομα δένδρου ἀκάρπου. ε΄. 97.

ἀρμοῖ, εἰ μὲν ψιλοῦται, τὸ ἀρτίως καὶ νεωστὶ σημαίνει· εἰ δὲ δασύνεται, τὸ ἡρμοσμένως. δ΄. 51.

ἄρραστον, καὶ ὅτι ἀράστειν τὸ κρύπτειν, καὶ ὅτι οἱ ποιηταὶ ὅτε ἔχουσι χρείαν ἐκτεῖναι τὸ α καὶ ἕτερον ρ προστιθέασιν αὐτῷ· καὶ ἐν τῷ παρατατικῷ ἐκκλίνοντες, τὸ κοινὸν ἄρραστον λέγουσι, τῇ προσθήκῃ τοῦ ρ τὴν ἀρχὴν αὔξοντες. β΄. 6.

Ἀρσινόη, ἡ Λυσιμάχου, καὶ ὅτι ἐπεβούλευε τῷ Πτολεμαίῳ τῷ Φιλαδέλφῳ τῷ ἀνδρὶ αὐτῆς, καὶ ὅτι εἰς Κοπτὸν ἐξεπέμφθη. ιζ΄. 128.

Ἀρσινόη, ἡ ἀδελφὴ τοῦ Φιλαδέλφου, καὶ ὅτι ταύτῃ ἔγημεν ὁ Φιλάδελφος. ιζ΄. 128.

ἄρταμις, Δωρικῶς ἀντὶ τοῦ Ἄρτεμις. α΄. 4.

Ἄρτεμις, ἡ αὐτὴ τῇ σελήνῃ. β΄. 33.

ας. ἐὰν ἐκτείνομεν τὸ ας ἐν τῷ μοίρας, σημαίνει γενικὴν πτῶσιν· ἐὰν δὲ συστέλλωμεν αὐτὸ, αἰτιατικὴν τῶν πληθυντικῶν, Δωρικῶς· ἐκεῖνοι γὰρ τὰς παρ᾽ ἡμῖν ἐκφερομένας εὐθείας τῶν πληθυντικῶν διὰ τῆς αι διφθόγγου, διὰ τοῦ ες ἐκφέρουσι. ιδ΄. 93.

ἄσκαλα, μετὰ τὸν σπόρον ἠμελημένα, ἐς τοσοῦτον, ὅτι καὶ ἀσκάλευτά εἰσιν. ι΄. 14.

ἀσκητὰ, κεκοσμημένη. α΄. 33.

ἀσπάλαθος, εἶδος ἀκάνθης, ᾗ πληγέντες οἱ ἔλαφοι, ἀποθνήσκου-

νήσκουσι· λέγεται δὲ διὰ τὸ μὴ ῥαδίως ὑπὸ τῶν πληγέντων ἀποσπᾶσθαι, ἤτοι ἀφαιρεῖσθαι. δ'. 57.

Ἀσσύριοι, ἔθνος Περσικὸν ἀκριβὲς ἐς μαγείαν, μεταξὺ ὂν Τίγριδος καὶ Εὐφράτου. β'. 162.

ἀστεμφὴς, οἱονεὶ ἀστρεφὴς καὶ ἐμβριθῆ τὴν ψυχὴν ἔχων, ἢ ἀκαμπὴς, καὶ σκληρός. ιγ'. 37.

ἀστύαναξ Μιλήσιος, Ἰσθμιονίκης, καὶ ὅτι τὰ περὶ τοῦ Μιλησίου Ἀστυάνακτος ἰσοδύναμα ὁ Θεόκριτος τῷ Αἴγωνι προσάπτει. δ'. 33.

ἀσφόδελος, βοτάνη πλατύφυλλος, ἧς ὁ καυλὸς καλεῖται ἀνθέρικος· ἀσφοδελὸς δὲ, ὁ τόπος ὁ ἔχων ἀσφοδέλους. ζ'. 68.

ἀταλάντη, ὅτι δύο ἀταλάνται εἰσὶν· ἡ μὲν ἐν Ἀρκαδίᾳ, ἡ δὲ ἐν Βοιωτίᾳ, ἡ Σχοινέως θυγάτηρ· καὶ τοῦ Ἱππομένους, καὶ τῆς δρομαίας Ἀταλάντης πέρι. γ'. 40.

ἀτεράμνους, τοὺς σκληροὺς, τοὺς μὴ τέρενας· ἐπεὶ τέρεν τὸ ἁπαλόν. ι'. 7.

ἀτέραμνα ὄσπρια, τὰ ἀνέψητα. ι'. 7.

ἀτιμαγελεῦντες, ἄτιμα καὶ ἄτακτα ἐν τῇ ἀγέλῃ ποιοῦντες· τοὺς γὰρ καταλιπόντας τὸ κοινὸν τῆς ἀγέλης, καὶ καθ' ἑαυτοὺς νεμομένους, οὕτω καλοῦσιν· ἐστὶ δὲ διαλέκτου Δωρικῆς. ἀτιμαγελέοντες γὰρ ἦν, καὶ κατὰ κρᾶσιν τοῦ ε καὶ ο Δωρικῶς εἰς τὴν ευ δίφθογγον, ἀτιμαγελεῦντες. θ'. 5.

ἀτιτάλλω, ἀναπαύω καὶ μὴ διὰ κόπου ταλαίνω· ἐκ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ ταλάσσω τὸ κοπιῶ· ἢ ἀπὸ τοῦ ἄττω τὸ ὁρμῶ, καὶ τοῦ ἄλλω τὸ πηδῶ, καὶ σημαίνει τὸ αὐξάνω. ιε'. 111.

ἀτρακτυλὶς, εἶδος βοτάνης ἢ ἀκάνθης· εἴρηται δὲ ἀπὸ τοῦ τὰς ἀγροίκων γυναῖκας ἀτράκτους ποιεῖν ἐξ αὐτῶν· κατὰ δὲ ἐνίους τὰ ἀγριολάχανα. δ'. 52.

ἄτροπον, ἀμετακίνητον, αἰώνιον. γ'. 49.

ἄτρυτος, πολλή. ιε'. 7.

αὖαι,

αὖαι, ξηραί. έ. 109.
αὔλακος, τὸν ὄγμον φησὶ, τὸ κοινῶς λεγόμενον ὀρδίνιον. ί. 6.
αὐλεῖν, τὸ δι᾽ αὐλοῦ μέλπειν. ζ΄. 71.
αὐλησεῦντι, ἀντὶ τοῦ αὐλήσουσι. αὐλεῖν τὸ δι᾽ αὐλοῦ μέλπειν· ἐνταῦθα δὲ ἀντὶ τοῦ ᾄσουσι, Αὐλησεῦντι δέ μοι. ζ΄. 71.
αὐότερος, αὖος, ἤγουν ξηρός. ή. 48.
αὐταὶ, μόναι. έ. 109. καὶ ιά. 12.
αὐτῷ, αὐτόθι. ιγ΄. 15.
αὔτως, ἐν οὐδεμίᾳ χρείᾳ, μάτην. έ. 40.
ἀφρόντιστος, πολυμέριμνος· τὸ γὰρ α ἐπίτασιν σημαίνει. ί. 20.
Ἀχάρναι, δῆμος τῆς Ἀττικῆς. ζ΄. 71.
Ἀχαρνεὺς, Ἀττικός. ζ΄. 71.
ἄωτος, τὸ ἀπάνθισμα τῶν ἀνθῶν, ἀπὸ τοῦ ἄειν, ἤγουν πνεῖν, καὶ ὀδωδέναι. ιγ΄. 27.
ἄωτος θεῖος ἡρώων, οἱ πρῶτοι τῶν ἡρώων, τὸ θεῖον ἀπάνθισμα τῶν ἡρώων. ιγ. 27.

## B.

Βαθεῖαι, ἀντὶ τοῦ ὑπερμεγέθεις καὶ μετέωροι. δ΄. 51.
Βάθος ὕλας, ἡ δασύτης τῶν δένδρων. ή. 49.
Βαίταν, τὴν μηλωτὴν, ἢ τὴν διφθέραν, τὴν σισύραν· οὕτω γὰρ λέγουσι τὰ συνερραμμένα περιβόλαια· καὶ ὅτι Ἀττικοῖς μὲν σισύραι, κοινοῖς δὲ σισυρίνια. γ΄. 25. καὶ έ. 15.
βαρυνεῦντα, βαρύνοντα. β΄. 3.
βασκαίνων, φθονῶν, λυπούμενος. έ. 13.
βάσκανος, κυρίως ὁ τοῖς ὀφθαλμοῖς καίνων καὶ φθείρων τὸ ὁραθὲν ὑπ᾽ αὐτοῦ. έ. 13.
βατεῦνται, βατεύονται, τοῖς τράγοις μίγνυνται. α΄. 87.
βάτος, καὶ ὅτι ὁ καὶ ἡ βάτος λέγεται· α΄. 132.
βάτραχος, καὶ ὅτι καλεῖται οὕτω βοάτραχός τις ὤν. ζ΄. 41.

βαΰζω ϗ ὑλακτῶ, ὅτι διαφέρει· τὸ γὰρ βαΰζειν ἐπὶ τῶν σκυλακίων λέγἐ) κυρίως· τὸ ὑλακτεῖν δὲ ἐπὶ τῶν τελείων κυνῶν· βαΰσδει δὲ Δωρικῶς. ς'. 10.

βδάλλω Ἀττικῶς, ὃ ϗ βδέλλω, ἤγουν ἐκπιέζω, ἀμέλγω. ια'. 35.

βδέλλα, ἡ ἐκμυζῶσα καὶ πίνουσα τὸ αἷμα. ἔστι δὲ ζῶον ἐν ταῖς λίμναις γινόμενον, ἀπὸ τοῦ βδέλλω. β'. 56. ϗ ια'. 35.

βδέλλω, τὸ ἀμέλγω ϗ τὸ ἐκπιέζω. ια'. 35.

βέβαλοι, ἀνάξιοι τῶν μυστηρίων, ἀμύητοι, ἀμυστηρίαστοι, μυστήρια μὴ ἔχοντες. γ'. 51.

Βερονίκη, ἡ τοῦ Σωτῆρος γυνὴ, μήτηρ δὲ τοῦ Φιλαδέλφου καὶ Ἀρσινόης. ιζ'. 107.

Βλέμυες, ἔθνος Αἰθιοπικὸν μελανόχρουν, ἐν τοῖς ἐσχάτοις τῆς Αἰθιοπίας ᾠκισμένον· οἱ αὐτοὶ τοῖς Τρωγλοδύταις. ζ'. 114.

βληχᾶσθαι, ἐπὶ τῶν προβάτων. ε'. 42.

βλήχων, εἶδος βοτάνης, τὸ κοινῶς βληχώνιον. ε'. 56.

βολβὸς, εἶδος βοτάνης, ὁμοίας κρομμύῳ κολχικῷ. ιδ'. 17.

βόσις, ἡ τροφή. ε'. 24.

Βουκαῖος, ὁ θεριστὴς κατά τινας, ἀπὸ τοῦ βοῦ ἐπιτατικοῦ μορίου, ϗ τοῦ καίνω, τὸ κόπτω καὶ θερίζω· βέλτιον δὲ ἀροτῆρα ἀκούειν τὸν σὺν βουσὶ καίνοντα τὴν γῆν καὶ τέμνοντα· καὶ ὅτι ὑποκοριστικῶς εἴρἠ)· κατὰ δὲ Δίφιλον ἐν α Νικάνδρου θηριακῶν κύριον ὄνομα. ί. 1.

Βουκολίων, Πανὸς υἱὸς, ἀφ' οὗ ϗ τὸ βουκολεῖν. α'. 64.

βουκολιάζω, βουκολικὴν ᾠδὴν ᾄδω. ζ'. 36.

βούπαις, ὁ μέγας παῖς. ζ'. 6.

Βούρεια πηγὴ ἐν Κῷ, ἀπὸ τοῦ βοῦ ἐπιτατικοῦ μορίου ϗ τοῦ ῥέω, ἢ ὅτι βοὸς ῥινὶ παραπλήσιος. ζ'. 6.

Βούρρινα, κατά τινας ἡ καὶ Βούρεια. ζ'. 6.

βούτομος, βοτάνη τις. ιγ'. 36.

βράβυ-

βράβυλα, τὰ κοινῶς κοκκύμηλα, ἤγουν δαμασκηνά. ζ΄. 146.
βραδυνόντων πέρι παροιμία. ζ. 25.
βρασίδας καὶ Βρασίλας, καὶ ὅτι Βρασίδας Λάκων τὸ γένος, ὁ δὲ Βρασίλας Κῷας· καὶ ὅτι ὁ Λακεδαιμόνιος ἐν Ἀμφιπόλει θάπτεται. ζ΄. 11.
βρῦλα, τὰ σία. ε΄. 115.
βρόχθος, τὸ ἐπίλακκον μέρος, τὸ μετὰ τὸν τράχηλον ποιὸν ἦχον ἀποτελοῦν. γ΄. 54.
βρύλλον, ὅτι οὕτω παρὰ τοῖς κοινοῖς ὁ χοῖνος. α. 53.
Βύβλινον, οἶνον Θρακικὸν, ἢ οὕτω καλουμένης τῆς ἀμπέλου, ἀπὸ τῆς Θρᾴκης. ιδ΄. 15.
βυβλίς, κρήνη Μιλήτου. ζ΄. 115.
βῶκος, συγκεκομμένον ὄνομα ἀντὶ τοῦ βουκαῖος. ι΄. 38.
βωτρέομες καὶ βωτρήσομες, καλέσομεν, ὁριστικὸν ἀντὶ τοῦ ὑποτακτικοῦ. ε΄. 64. καὶ 66.

## Γ.

Γαῖα, καὶ ὅτι παρὰ τοῖς παλαιοῖς ἐψιλογραφεῖτο, ὡς καὶ τὰ παρ᾽ αὐτῆς συγκειμένα. α΄. 13.
Γαυλοὶ, ἀγγεῖα χοτροειδῆ γαλακτοδόχα, ἐν οἷς πήσουσι τὸ γάλα· ἄλλα καὶ ἀμολγέας καλοῦσι. ε΄. 58.
Γαυροτέρα, αὐθαδεστέρα· γαῦρος γὰρ ὁ ἐπηρμένος· καὶ γαυριᾷ ῥῆμα, ἀντὶ τοῦ ἐπαίρεται. ια΄. 21.
γέρων, ἀντὶ τοῦ παλαιὸς, ἐν τῷ, γέρων πέπλος. ζ΄. 17.
γεύμεθα πίσσας ὡς μῦς, καὶ ὅτι παροιμία ἐστὶ τὸ, Μῦς γευόμενος πίσσης. λέγεται δὲ, ἐπὶ τῶν εἰς ἀηδὲς πρᾶγμα ἐμπεσόντων, καὶ δυσεξειλήτως ἀπαλλασσομένων. ιδ΄. 51.
γεώλοφον, ὁ ἐν τῷ ὁμαλῷ πέδῳ ὑπερανεστηκὼς ὄχθος, ὃς καὶ κολωνὸς καλεῖται· ψιλογραφεῖται δὲ, ὅτι παρὰ τοῖς

παλαιοῖς ἡ γαῖα ἐψιλογραφεῖτο, ὡς καὶ τὰ παρ' αὐτῆς συγκείμενα. α'. 13.

Γλαύκα, κρουματοποιὸς, Χῖα τὸ γένος, γεγενημένη δὲ ἐπὶ Πτολεμαίου τοῦ Φιλαδέλφου. δ'. 31.

γλάχων, βλήχων, εἶδος βοτάνης, τὸ κοινῶς βληχώνιον. ε'. 56.

γλυκύμαλον, πρόσφθεγμα ἐρωτικόν. εἰώθασι γὰρ οἱ ἐρῶντες πρὸς τὰς ἐρωμένας λέγειν, γλυκύ μου μῆλον. μῆλον δέ ἐστιν ὡς μελίλωτον. ια'. 39.

γλυκύτητος σχῆμα, ὅταν τοῖς ἀψύχοις ὡς ἐμψύχοις προσδιαλέγονται. η'. 33.

γλυφάνοιο, γλυφῆς· ὥσπερ δὲ γίνεται ἀπὸ τοῦ στέφω στέφανος, οὕτω καὶ ἀπὸ τοῦ γλύφω γλύφανος, ποιητικῶς. α'. 28.

Γολγὸς, πόλις Κύπρου, ὠνομασμένη ἀπὸ Γολγοῦ τινὸς Ἀδώνιδος καὶ Ἀφροδίτης. ιε'. 100.

γραίας, γεγηρακυίας καὶ ξηράς. ε'. 121.

γραπτὰ Ὑάκινθος, ἡ ἔχουσα ἐν ἑαυτῇ γεγραμμένα γράμματα θρηνώδη, δηλονότι τὸ αἶ αἶ, σύμβολον τῶν ἐπ' Αἴαντι μυθολογουμένων. ι'. 28.

γράψαι, ξέσαι παρὰ τοῖς παλαιοῖς. ς'. 18.

γριπεὺς, ὁ ἁλιεύς. α'. 39.

γρῖπος, τὸ δίκτυον· παρὰ τὸ τοὺς ἰχθύας ἀγρεύειν. α'. 39.

γρυπὸς, ὁ ἐπικαμπῆ τὴν ῥῖνα ἔχων, δίκην ἱέρακος. ια'. 35.

## Δ.

Δᾶ, ἡ γῆ. οὐ δᾶν, οὐ μὰ τὴν γῆν, Δωρικῶς. δ'. 17.

Δαγὺς, κοροκόσμιόν τι, καὶ ἡ νύμφη. οἱ δὲ πλαγγόνα. β'. 110.

Δάκης, λυπηρόν τι καὶ δηκτικὸν δράσης. ιβ'. 25.

δαλεῖται,

δαλεῖται, βλάπτει. ιϛ΄. 48.
δαμάλαι, αἱ ἤδη δαμασθῆναι δυνάμεναι· πόρτιες δὲ αἱ μικραὶ, αἱ μήπω εἰς ζυγὸν ἐλθοῦσαι. α. 75.
δάμαλις δαμάλεως κοινὸν, δαμάλη ποιητικόν. α΄. 75.
δασπλῆτι, ἣ οὐκ ἄν τις διαπελάσειεν· ἢ πολυπέλασε, διὰ τὸ ἐπιτατικὸν, ἢ πολεμικὴ, ἢ προσπελάζουσα ταῖς δασὶ, ἤγουν φωσφόρος. β΄. 14.
δασυκέρκος, τὰς ἐχούσας δασείας τὰς οὐράς· τὰς ἐχούσας οὐρὰς πολυτρίχους. ε΄. 112.
Δείλη ἑῴα, ὅτι ἀνατέλλει ὁ ἥλιος· δείλη δὲ ὀψία, ὅτι πρὸς δυσμὰς κατέρχεται. ί. 5.
Δευκαλίωνες, ἀντὶ τοῦ Δευκαλίδαι· ἀπὸ Δευκαλίωνος Θεσσαλοῦ. ιε΄. 141.
δήλεται, βούλεται, Δωρικῶς. ε΄. 27.
Δῖα, Διὸς θυγάτηρ. α΄. 95.
δι᾽ ἀμοιβαίων, καὶ ἀμοιβήν. η΄. 61.
διαστήσαντο, διυφήνειαν. ιϛ΄. 97.
διαχρησεῖται, διαφθερεῖ. ιε΄. 54.
δίδακτρα, τὸν μισθὸν τὸν ἕνεκα τῆς διδασκαλίας. η΄. 86.
διδυματόκος ἡ δίδυμα τετοκυῖα, καὶ ὅτι τὰ ἀπὸ τοῦ τίκτειν συγκείμενα, εἰ μὲν προπαροξύνεται, πάθος δηλοῖ· εἰ δὲ παροξύνεται, ἐνέργειαν. καὶ ὅτι δοκεῖ τὸ διδυματόκος ἀπὸ διδυμοτόκος γίνεσθαι, τροπῇ τοῦ ο εἰς η, εἶτα τοῦ η εἰς α· διὸ καὶ μακρὸν ἔχει τὸ α. ζ΄. 84.
διεκρανώσατε, διεσπαράξατε, ἢ ἐπηγάσατε, μᾶλλον ἐμεθύσατε, καὶ ἀποκαλυφθῆναι ἐποιήσατε. ζ΄. 154.
δίνη, ἡ συστροφὴ τῶν ῥευμάτων τοῦ Ἀχέροντος. α΄. 140.
Διοκλῆς· οὗτος Ἀθήνηθεν φεύγων εἰς Μέγαρα φιλόπαις ὑπερφυῶς ὢν ἔν τινι μάχῃ ἠρίστευσε, καὶ ὑπερασπίζων τινὸς ἐρωμένου, ἐκεῖνον μὲν ἔσωσεν, αὐτὸς δὲ ἐτελεύτησεν· ὅθεν

ἀνυζάμην τὸν ἀμνὸν, τὴν νίκην ἔλαβον. έ. 144.
ἄξενον, κακόξενον. ιγ΄. 75.
ἀπαρέσκομαι, οὐκ ἀποδέχομαι. α΄. 61.
ἀπεκρίθην, ἀντὶ τοῦ ἀπεκρινάμην· δηλοῖ δὲ ϗ ἀπεκρίθην τὸ ἐχωρίσθην. ζ΄. 74.
ἀπέσβας, ἐξέλιπες, ἀπέθανες. δ΄. 39.
ἀπευκτὸς ϗ ἀπευκταῖος, ὁ μισητός. ί. 50.
ἀπίοιο πεπαίτερος, ἀπίου χαυνότερος. ζ. 120.
ἄπις ϗ κλεύνικος. ιδ΄. 13.
ἀποβάλλω, ἀποῤῥίπτω, προσβάλλω δὲ προσκρούω. τὸ ἀποβάλλειν δὲ νῦν μισεῖν, ἐν τῷ —τί τὸν φιλέοντ' ἀποβάλλῃ. ια΄. 19.
ἀποισῇ, κομίσῃ, ὡς τὸ λαψῇ ἀντὶ τοῦ λάψῃ· τοὺς γὰρ μέλλοντας οἱ Δωριεῖς περισπῶσι. ά. 3.
ἀπόκομμα πέτρας, πέτρινε, λίθινε, σκληρότατε. ί. 7.
ἀποσέρξαιμι, καταφρονήσαιμι. ιδ΄. 50.
ἀποτρώγεις, μειοῖς ϗ ἐλαττοῖς. ί. 6.
ἀρατεία εἰσβολὴ, ϗ ὅτι ταύτῃ κέχρηται ὁ Θεόκριτος ἐν τῷ, Ἐκ Διὸς ἀρχώμεσθα. ιζ΄. 1.
Ἄρατος, ϗ ὅτι πρὸς τοῦτον διαλέγεται ὁ ποιητὴς, ϗ ὅτι συγκεχρονίκει τῷ Ἀράτῳ τῷ τὰ φαινόμενα γράψαντι ὁ Θεόκριτος. ϛ΄. 2.
ἀρβύλη ϗ ἀρβυλὶς, παρὰ Θεοκρίτῳ ὑποδήματος εἶδος. ζ΄. 26.
ἀργεία, ἡ Δηϊπύλη, τοῦ Διομήδους ἡ μήτηρ. ιζ΄. 53.
Ἀρέθουσα, πηγὴ ἐν Συρακούσαις τῆς Σικελίας, εἰς ἣν εἰσρέει ὁ ἐξ Ἀρκαδίας Ἀλφειὸς ποταμός. ἔστι δὲ καὶ ἐν Εὐβοίᾳ Ἀρέθουσα, ϗ ἄλλη ἐν Σάμῳ. α΄. 117.
ἀρέθουσα, πᾶσαι αἱ κρῆναι κατὰ τὸν Ἐπαφρόδιτον. α΄. 117.
ἀρεσαίμην, εὐάρεστος δόξαιμι. α΄. 60.

ἀρέσκω

ἀρέσκωντιν, ἀντὶ τοῦ ἀρεστὸς αὐτῷ φαίνομαι· Ἀττικῶς δὲ μετὰ αἰτιατικῆς. α΄. 60.

ἄρισις, ὁ κιθαρῳδός. ζ΄. 99.

Ἀρκαδικὴ ἑορτὴ, καὶ ὅτι ἐν τῇ Ἀρκαδίᾳ ἑορτὴ ἐτελεῖτο ἐν ᾗ οἱ παῖδες τὸν Πᾶνα σκίλλαις ἔτυπτον, ὅτε οἱ χορηγοὶ λεπτὸν ἱερεῖον ἔθυον. καὶ ὅτι κατ᾽ ἐνίους οἱ παῖδες εἰ εὐθηρίας οὐκ ἐπέτυχον. ζ΄. 106.

ἄρκευθος, ὄνομα δένδρου ἀκάρπου. ε΄. 97.

ἀρμοῖ, εἰ μὲν ψιλοῦται, τὸ ἀρτίως καὶ νεωστὶ σημαίνει· εἰ δὲ δασύνεται, τὸ ἡρμοσμένως. δ΄. 51.

ἄῤῥαστον, καὶ ὅτι ἀράστιν τὸ κρύψιν, καὶ ὅτι οἱ ποιηταὶ ὅτε ἔχουσι χρείαν ἐκτεῖναι τὸ α καὶ ἕτερον ρ προστιθέασιν αὐτῷ· καὶ ἐν τῷ παρατατικῷ ἐκκλίνοντες, τὸ κοινὸν ἄῤῥαστον λέγουσι, τῇ προσθήκῃ τοῦ ρ τὴν ἀρχὴν αὔξοντες. β΄. 6.

Ἀρσινόη, ἡ Λυσιμάχου, καὶ ὅτι ἐπεβούλευε τῷ Πτολεμαίῳ τῷ Φιλαδέλφῳ τῷ ἀνδρὶ αὐτῆς, καὶ ὅτι εἰς Κοπτὸν ἐξεπέμφθη. ιζ΄. 128.

Ἀρσινόη, ἡ ἀδελφὴ τοῦ Φιλαδέλφου, καὶ ὅτι ταύτῃ ἔγημεν ὁ Φιλάδελφος. ιζ΄. 128.

ἄρταμις, Δωρικῶς ἀντὶ τοῦ Ἄρτεμις. α΄. 4.

Ἄρτεμις, ἡ αὐτὴ τῇ σελήνῃ. β΄. 33.

ας. ἐὰν ἐκτείνομεν τὸ ας ἐν τῷ μοίρας, σημαίνει γενικὴν πτῶσιν· ἐὰν δὲ συστέλλωμεν αὐτὸ, αἰτιατικὴν τῶν πληθυντικῶν, Δωρικῶς· ἐκεῖνοι γὰρ τὰς παρ᾽ ἡμῖν ἐκφερομένας εὐθείας τῶν πληθυντικῶν διὰ τῆς αι διφθόγγου, διὰ τοῦ ες ἐκφέρουσι. ιδ΄. 93.

ἄσκαλα, μετὰ τὸν σπόρον ἠμελημένα, ἐς τοσοῦτον, ὅτι καὶ ἀσκάλευτά εἰσιν. ι΄. 14.

ἀσκητὰ, κεκοσμημένη. α΄. 33.

ἀσπάλαθος, εἶδος ἀκάνθης, ᾗ πληγέντες οἱ ἔλαφοι, ἀποθνήσκου-



κήσκου-

νήσκουσι· λέγεται δὲ διὰ τὸ μὴ ῥαδίως ὑπὸ τῶν πληγέντων ἀποσπᾶσθαι, ἤτοι ἀφαιρεῖσθαι. δ'. 57.

Ἀσσύριοι, ἔθνος Περσικὸν ἀκριβὲς ἐς μαγείαν, μεταξὺ ὂν Τίγριδος καὶ Εὐφράτου. β'. 162.

ἀστεμφὴς, οἱονεὶ ἀστρεφὴς καὶ ἐμβριθῆ τὴν ψυχὴν ἔχων, ἢ ἀκαμπὴς, καὶ σκληρός. ιγ'. 37.

ἀστύαναξ Μιλήσιος, Ἰσθμιονίκης, καὶ ὅτι τὰ περὶ τοῦ Μιλησίου Ἀστυάνακτος ἱστορούμενα ὁ Θεόκριτος τῷ Αἴγωνι προσάπτει. δ'. 33.

ἀσφόδελος, βοτάνη πλατύφυλλος, ἧς ὁ καυλὸς καλεῖται ἀνθέρικος· ἀσφοδελὸς δὲ, ὁ τόπος ὁ ἔχων ἀσφοδέλους. ζ'. 68.

ἀταλάντη, ὅτι δύο ἀταλάνται εἰσίν· ἡ μὲν ἐν Ἀρκαδίᾳ, ἡ δὲ ἐν Βοιωτίᾳ, ἡ Σχοινέως θυγάτηρ· καὶ τοῦ Ἱππομένους, καὶ τῆς δρομαίας Ἀταλάντης πέρι. γ'. 40.

ἀτεράμνους, τοὺς σκληροὺς, τοὺς μὴ τέρενας· ἐπεὶ τέρεν τὸ ἁπαλόν. ι'. 7.

ἀτέραμνα ὄσπρια, τὰ ἀνέψητα. ι'. 7.

ἀτιμαγελεῦντες, ἄτιμα καὶ ἄτακτα ἐν τῇ ἀγέλῃ ποιοῦντες· τοὺς γὰρ καταλιπόντας τὸ κοινὸν τῆς ἀγέλης, καὶ καθ' ἑαυτοὺς νεμομένους, οὕτω καλοῦσιν· ἐστὶ δὲ διαλέκτου Δωρικῆς. ἀτιμαγελέοντες γὰρ ἦν, καὶ κατὰ κρᾶσιν τοῦ ε καὶ ο Δωρικῶς εἰς τὴν ευ δίφθογγον, ἀτιμαγελεῦντες. θ'. 5.

ἀτιτάλλω, ἀναπαύω καὶ μὴ διὰ κόπου ταλαίνω· ἐκ τοῦ α στερητικοῦ μορίου, καὶ τοῦ ταλάσσω τὸ κοπιῶ· ἢ ἀπὸ τοῦ ἄττω τὸ ὁρμῶ, καὶ τοῦ ἄλλω τὸ πηδῶ, καὶ σημαίνει τὸ αὐξάνω. ιε'. 111.

ἀτρακτυλὶς, εἶδος βοτάνης ἢ ἀκάνθης· εἴρηται δὲ ἀπὸ τοῦ τὰς ἀγροίκων γυναῖκας ἀτράκτους ποιεῖν ἐξ αὐτῶν· κατὰ δὲ ἐνίους τὰ ἀγριολάχανα. δ'. 52.

ἄτροπον, ἀμετακίνητον, αἰώνιον. γ'. 49.

ἄτρυτος, πολλή. ιε'. 7.

αὖαι,

αὖαι, ξηραί. ε΄. 109.
αὔλακος, τὸν ὄγμον φησὶ, τὸ κοινῶς λεγόμενον ὀρδίνιον. ι΄. 6.
αὐλεῖν, τὸ δι᾽ αὐλοῦ μέλπειν. ζ΄. 71.
αὐλησεῦντι, ἀντὶ τοῦ αὐλήζουσι. αὐλεῖν τὸ δι᾽ αὐλοῦ μέλπειν· ἐνταῦθα δὲ ἀντὶ τοῦ ᾄζουσι, Αὐλησεῦντι δέ μοι. ζ΄. 71.
αὐότερος, αὖος, ἤγουν ξηρός. η΄. 48.
αὐταὶ, μόναι. ε΄. 109. καὶ ια΄. 12.
αὐτῷ, αὐτόθι. ιγ΄. 15.
αὔτως, ἐν οὐδεμίᾳ χρείᾳ, μάτην ε΄. 40.
ἀφρόντιστος, πολυμέριμνος· τὸ γὰρ α ἐπίτασιν σημαίνει. ι΄. 20.
Ἀχάρναι, δῆμος τῆς Ἀττικῆς. ζ΄. 71.
Ἀχαρνεὺς, Ἀττικός. ζ΄. 71.
ἄωτος, τὸ ἀπάνθισμα τῶν ἀνθῶν, ἀπὸ τοῦ ἄειν, ἤγουν πνεῖν, καὶ ὀδωδέναι. ιγ΄. 27.
ἄωτος θεῖος ἡρώων, οἱ πρῶτοι τῶν ἡρώων, τὸ θεῖον ἀπάνθισμα τῶν ἡρώων. ιγ. 27.

## B.

Βαθεῖαι, ἀντὶ τοῦ ὑπερμεγέθεις καὶ μετέωροι. δ΄. 51.
Βάθος ὕλας, ἡ δασύτης τῶν δένδρων. η΄. 49.
Βαίταν, τὴν μηλωτὴν, ἢ τὴν διφθέραν, τὴν σισύραν· οὕτω γὰρ λέγουσι τὰ συνεῤῥαμμένα περιβόλαια· καὶ ὅτι Ἀττικοῖς μὲν σισύραι, κοινοῖς δὲ σισυρίνια. γ΄. 25. καὶ ε΄. 15.
βαρυνεῦντα, βαρύνοντα. β΄. 3.
βασκαίνων, φθονῶν, λυπούμενος. ε΄. 13.
βάσκανος, κυρίως ὁ τοῖς ὀφθαλμοῖς καίνων καὶ φθείρων τὸ ὁραθὲν ὑπ᾽ αὐτοῦ. ε΄. 13.
βατεῦνται, βατεύονται, τοῖς τράγοις μίγνυνται. α΄. 87.
βάτος, καὶ ὅτι ὁ καὶ ἡ βάτος λέγεται· α΄. 132.
βάτραχος, καὶ ὅτι καλεῖται οὕτω βοάτραχός τις ὤν. ζ΄. 41.

βαΰζω ϗ ὑλακτῶ, ὅτι διαφέρει· τὸ γὰρ βαΰζειν ἐπὶ τῶν σκυλακίων λέγε) κυρίως· τὸ ὑλακτεῖν δὲ ἐπὶ τῶν τελείων κυνῶν· βαΰσδει δὲ Δωρικῶς. ϛ'. 10.

βδάλλω Ἀττικῶς, ὃ ϗ βδέλλω, ἤγουν ἐκπιέζω, ἀμέλγω. ια'. 35.

βδέλλα, ἡ ἐκμυζῶσα καὶ πίνουσα τὸ αἷμα. ἔστι δὲ ζῶον ἐν ταῖς λίμναις γινόμενον, ἀπὸ τοῦ βδέλλω. β'. 56. ϗ ια'. 35.

βδέλλω, τὸ ἀμέλγω ϗ τὸ ἐκπιέζω. ια'. 35.

βέβαλοι, ἀνάξιοι τῶν μυστηρίων, ἀμύητοι, ἀμυστηρίαστοι, μυστήρια μὴ ἔχοντες. γ'. 51.

Βερονίκη, ἡ τοῦ Σωτῆρος γυνὴ, μήτηρ δὲ τοῦ Φιλαδέλφου καὶ Ἀρσινόης. ιζ'. 107.

Βλέμυες, ἔθνος Αἰθιοπικὸν μελανόχρουν, ἐν τοῖς ἐσχάτοις τῆς Αἰθιοπίας ᾠκισμένον· οἱ αὐτοὶ τοῖς Τρωγλοδύταις. ζ'. 114.

βληχᾶσθαι, ἐπὶ τῶν προβάτων. ε'. 42.

βλήχων, εἶδος βοτάνης, τὸ κοινῶς βληχώνιον. ε'. 56.

βολβὸς, εἶδος βοτάνης, ὁμοίας κρομμύῳ κολχικῷ. ιδ'. 17.

βόσις, ἡ τροφή. ε'. 24.

βουκαῖος, ὁ θεριστὴς κατά τινας, ἀπὸ τοῦ βου ἐπιτατικοῦ μορίου, ϗ τοῦ καίνω, τὸ κόπτω καὶ θερίζω· βέλτιον δὲ ἀροτῆρα ἀκούειν τὸν σὺν βουσὶ καίνοντα τὴν γῆν καὶ τέμνοντα· καὶ ὅτι ὑποκοριστικῶς εἴρη). κατὰ δὲ Δίφιλον ἐν α Νικάνδρου θηριακῶν κύριον ὄνομα. ι'. 1.

Βουκολίων, Πανὸς υἱὸς, ἀφ' οὗ ϗ τὸ βουκολεῖν. α'. 64.

βουκολιάζω, βουκολικὴν ᾠδὴν ᾄδω. ζ'. 36.

βούπαις, ὁ μέγας παῖς. ζ'. 6.

Βούρεια πηγὴ ἐν Κῷ, ἀπὸ τοῦ βου ἐπιτατικοῦ μορίου ϗ τοῦ ῥέω, ἢ ὅτι βοὸς ῥινὶ παραπλήσιος. ζ'. 6.

Βούῤῥινα, κατά τινας ἡ καὶ Βούρεια. ζ'. 6.

βούτομος, βοτάνη τις. ιγ'. 36.

βράβυλα, τὰ κοινῶς κοκκύμηλα, ἤγουν δαμασκηνά. ζ'. 146.
βραδυνόντων πέρι παροιμία. ζ. 25.
βρασίδας καὶ Βρασίλας, καὶ ὅτι Βρασίδας Λάκων τὸ γένος, ὁ δὲ Βρασίλας Κῷος· καὶ ὅτι ὁ Λακεδαιμόνιος ἐν Ἀμφιπόλει θάπτεται. ζ'. 11.
βρῦλα, τὰ σία. ε'. 115.
βρόχθος, τὸ ἐπίλακκον μέρος, τὸ μετὰ τὸν τράχηλον ποιὸν ἦχον ἀποτελοῦν. γ'. 54.
βρύλλον, ὅτι οὕτω παρὰ τοῖς κοινοῖς ὁ χοῖνος. α. 53.
Βύβλινον, οἶνον Θρακικὸν, ἢ οὕτω καλουμένης τῆς ἀμπέλου, ἀπὸ τῆς Θρᾴκης. ιδ'. 15.
βυβλίς, κρήνη Μιλήτου. ζ'. 115.
βῶκος, συγκεκομμένον ὄνομα ἀντὶ τοῦ βουκαῖος. ι'. 38.
βωστρέομες καὶ βωστρήσομες, καλέσομεν, ὁριστικὸν ἀντὶ τοῦ ὑποτακτικοῦ. ε'. 64. καὶ 66.

## Γ.

Γαῖα, καὶ ὅτι παρὰ τοῖς παλαιοῖς ἐψιλογραφεῖτο, ὡς καὶ τὰ παρ' αὐτῆς συγκειμένα. α'. 13.
Γαυλοὶ, ἀγγεῖα χοτροειδῆ γαλακτοδόχα, ἐν οἷς πήσσουσι τὸ γάλα· ἅτινα καὶ ἀμολγέας καλοῦσι. ε'. 58.
Γαυροτέρα, αὐθαδεστέρα· γαῦρος γὰρ ὁ ἐπηρμένος· καὶ γαυριᾷ ῥῆμα, ἀντὶ τοῦ ἐπαίρεται. ια'. 21.
γέρων, ἀντὶ τοῦ παλαιὸς, ἐν τῷ, γέρων πέπλος. ζ'. 17.
γεύμεθα πίσσας ὡς μῦς, καὶ ὅτι παροιμία ἐστὶ τὸ, Μῦς γευόμενος πίσσης. λέγεται δὲ, ἐπὶ τῶν εἰς ἀηδὲς πρᾶγμα ἐμπεσόντων, καὶ δυσεξειλήτως ἀπαλλασσομένων. ιδ'. 51.
γεώλοφον, ὁ ἐν τῷ ὁμαλῷ πέδῳ ὑπερανεστηκὼς ὄχθος, ὃς καὶ κολωνὸς καλεῖται· ψιλογραφεῖται δὲ, ὅτι παρὰ τοῖς

παλαιοῖς

παλαιοῖς ἡ γαῖα ἐψιλογραφεῖτο, ὡς κ̀ τὰ παρ' αὐτῆς συγκείμενα. α'. 13.

Γλαύκα, κρεματοποιὸς, Χῖα τὸ γένος, γεγενημένη δὲ ἐπὶ Πτολεμαίε τῦ Φιλαδέλφε. δ'. 31.

γλάχων, βλήχων, εἶδος βοτάνης, τὸ κοινῶς βληχώνιον. ε'. 56.

γλυκύμαλον, πρόσφθεγμα ἐρωτικόν. εἰώθασι γὰρ οἱ ἐρῶντες πρὸς τὰς ἐρωμένας λέγειν, γλυκύ μυ μῆλον. μῆλον δέ ἐςιν ὡς μελίλωτον. ια'. 39.

γλυκύτητος χῆμα, ὅταν τοῖς ἀψύχοις ὡς ἐμψύχοις προσδιαλέγονται. η'. 33.

γλυφάνοιο, γλυφῆς· ὥσπερ δὲ γίνεται ἀπὸ τῦ σέφω σέφανος, ὕτω κ̀ ἀπὸ τῦ γλύφω γλύφανος, ποιητικῶς. α'. 28.

Γολγὸς, πόλις Κύπρυ, ὠνομασμένη ἀπὸ Γολγῦ τινὸς Ἀδώνιδος καὶ Ἀφροδίτης. ιε'. 100.

γραίας, γεγηρακυίας καὶ ξηράς. ε'. 121.

γραπτὰ Ὑάκινθος, ἡ ἔχυσα ἐν ἑαυτῇ γεγραμμένα γράμματα θρηνώδη, δηλονότι τὸ αἲ αἴ, σύμβολον τῶν ἐπ' Αἴαντι μυθολογυμένων. ι'. 28.

γράψαι, ξέσαι παρὰ τοῖς παλαιοῖς. ς'. 18.

γριπεὺς, ὁ ἁλιεύς. α'. 39.

γρίπος, τὸ δίκτυον· παρὰ τὸ τὺς ἰχθύας ἀγρεύειν. α'. 39.

γρυπὸς, ὁ ἐπικαμπῆ τὴν ῥῖνα ἔχων, δίκην ἱέρακος. ια'. 35.

Δ.

Δᾶ, ἡ γῆ. ὐ δᾶν, ὐ μὰ τὴν γῆν, Δωρικῶς. δ'. 17.

Δαγὺς, κοροκόσμιόν τι, καὶ ἡ νύμφη. οἱ δὲ πλαγγόνα. β'. 110.

Δάκης, λυπηρόν τι καὶ δηκτικὸν δράσης. ιβ'. 25.

δαλεῖται,

δαλεῖται, βλάπτει. ιϛ΄. 48.
δαμάλαι, αἱ ἤδη δαμασθῆναι δυνάμεναι· πόρτιες δὲ αἱ μικραὶ, αἱ μήπω εἰς ζυγὸν ἐλθοῦσαι. α. 75.
δάμαλις δαμάλεως κοινὸν, δαμάλη ποιητικόν. α΄. 75.
δαοπλῆτι, ἣ οὐκ ἄν τις διαπελάσειεν· ἢ πολυπέλαστε, διὰ τὸ ἐπιτατικὸν, ἢ πολεμικὴ, ἡ προσπελάζουσα ταῖς δασὶ, ἤγουν φωσφόρος. β΄. 14.
δασυκέρκος, τὰς ἐχούσας δασείας τὰς οὐράς· τὰς ἐχούσας οὐρὰς πολυτρίχους. ε΄. 112.
Δείλη ἑώα, ὅτι ἀνατέλλει ὁ ἥλιος· δείλη δὲ ὀψία, ὅτι πρὸς δυσμὰς κατέρχεται. ι΄. 5.
Δευκαλίωνες, ἀντὶ τοῦ Δευκαλίδαι· ἀπὸ Δευκαλίωνος Θεσσαλοῦ. ιε΄. 141.
δήλεται, βούλεται, Δωρικῶς. ε΄. 27.
Δῖα, Διὸς θυγάτηρ. α΄. 95.
δι' ἀμοιβαίων, κατ' ἀμοιβήν. η΄. 61.
διαστήσαιντο, διαφήνειαν. ιϛ΄. 97.
διαχρησεῖται, διαφθερεῖ. ιε΄. 54.
δίδακτρα, τὸν μισθὸν τὸν ἕνεκα τῆς διδασκαλίας. η΄. 86.
διδυματόκος ἡ δίδυμα τετοκυῖα, καὶ ὅτι τὰ ἀπὸ τοῦ τίκτειν συγκείμενα, εἰ μὲν προπαροξύνεται, πάθος δηλοῖ· εἰ δὲ παροξύνεται, ἐνέργειαν. καὶ ὅτι δοκεῖ τὸ διδυματόκος ἀπὸ διδυμοτόκος γίνεσθαι, τροπῇ τοῦ ο εἰς η, εἶτα τοῦ η εἰς α· διὸ καὶ μακρὸν ἔχει τὸ α. ζ΄. 84.
διεκρανώσατε, διεσπαράξατε, ἢ ἐπηγάσατε, μᾶλλον ἐμεθύσατε, καὶ ἀποκρυφθῆναι ἐποιήσατε. ζ΄. 154.
δίνη, ἡ συστροφὴ τῶν κυμάτων τοῦ Ἀχέροντος. α΄. 140.
Διοκλῆς· οὗτος Ἀθήνηθεν φεύγων εἰς Μέγαρα φιλόπαις ὑπερφυῶς ὢν ἔν τινι μάχῃ ἠρίστευσε, καὶ ὑπερασπίζων τινὸς ἐρωμένου, ἐκεῖνον μὲν ἔσωσεν, αὐτὸς δὲ ἐτελεύτησεν· ὅθεν

ἀγῶνά τε αὐτῷ ποιεῖν τοὺς Μεγαρεῖς, ϗ τιμᾶν τὸν Ἥρωα. ιβ΄. 29.
διώκειν, ἐπὶ τοῦ ἀγρεύειν, ϗ αἱρεῖν. ε΄. 107.
δοκασεῖς, δόξεις, νομίσεις. α΄. 149.
δοῦλος ϗ οἰκέτης, ϗ ὅτι διαφέρει· οἰκέτης γὰρ ὁ ἔτι ὑπὸ κλῆσιν ὤν· δοῦλος δὲ ὁ ἀπελεύθερος. ε΄. 5.
δράγματα, τὰ πλεκώματα φησὶ, τοὺς σωροὺς, τοὺς θυμῶνας. ζ΄. 157.
δράγματα, ϗ ὅτι δράγματα τὰ πληροῦντα σταχύων τὴν ἀριστερὰν, παρὰ τὸ δράπτειν· ὅθεν ϗ δραχμή. ι΄. 44.
δραχμὴ, ἡ πληροῦσα τὴν χεῖρα τῷ κέρματι. ι΄. 44.
δρέψασθαι, ϗ ὅτι τὸ δρέψασθαι κυρίως ἐπὶ βοτανῶν, ϗ ἐπὶ φύλλων, ϗ δένδρων, ϗ ὅτι λέγεται ἀεὶ παθητικῶς· τὰ γὰρ ἐνεργητικὰ ἄχρηστα· σημαίνει δὲ τὸ τέμνω. ια΄. 27.
δρύϊνον πῦρ, τὸ ἀπὸ δρυὸς γινόμενον. θ΄. 19.
δρυμὸς, ὃς ϗ δρυμών. α΄. 117.
δρῦς, ϗ ὅτι δρυὸς γένη πέντε, φηγὸς, κιμαρὶς, ἐτυμόδρυς, ἄλυφλος, ἄμυλος. θ΄. 20.
δύμβρις, ἡ κατὰ γλῶσσαν θάλασσα. α΄. 118.
δύσερως, ὁ μὴ εἰδὼς ἐρᾶν. ς΄. 7.
δύσερως, ὁ δύσκολον ἔρωτα ἔχων ϗ ἀπροσμήχανον. α΄. 85.
δύσσοος, ὁ δυσκόλως σωζόμενος, ἢ ὁ δυσχερῶς διωκόμενος· οἱ δὲ δύσσοος, ὁ κακοδαίμων. γ΄. 24.
Δωριεῖς, ϗ ὅτι τὴν ου δίφθογγον εἰς ω τρέπουσι. ζ΄. 151.
Δωριεῖς, ϗ ὅτι οἱ Δωριεῖς τὸν μέλλοντα τῆς τετάρτης συζυγίας τῆς ληγούσης εἰς ζ διὰ τοῦ ξ ἐκφέρουσι. α΄. 12.
Δωριεῖς, ϗ ὅτι οἱ Δωριεῖς τὰ ὑποτακτικὰ τῶν ῥημάτων ὁμοίως ἡμῖν προφέρουσι. α΄. 51. ϗ α΄. 112.
Δωριεῖς, ϗ ὅτι οἱ Δωριεῖς τῶν εἰς ες ληγουσῶν εὐθειῶν πληθυντικῶν, ὁμοίως παροξύνουσι ϗ μακρὸν ἔχουσι τὸ α. α΄. 110.

Δωριεῖς, ϗ ὅτι τὰ εἰς ται λήγοντα ῥήματα, ὅταν ἔχει τὸν παραληγόμενον ϗ προπερισπώμενον, παροξύνουσιν οἱ Δωριεῖς· ὅταν δὲ βαρυνόμενον, ὁμοίως ἡμῖν ἐκφέρουσιν. α΄. 83.

Δωριεῖς, ϗ ὅτι οἱ Δωριεῖς, τὰ δεύτερα πρόσωπα τῶν ῥημάτων τὰ ες εἰς λήγοντα, εἰς ες ποιοῦσι, τὸ ι μόνον ἐκθλίβοντες, συρίζεις συρίζες, ὡς καὶ ἐν τοῖς ἀπαρεμφάτοις. α΄. 3.

Δωριεῖς, ϗ ὅτι διαλύουσι τὸ ζ΄ εἰς τὰ, ἐξ ὧν συγκείμενον ἦν, στοιχεῖα. α΄. 7.

Δωριεῖς, ϗ ὅτι οἱ Δωριεῖς ποτὲ μὲν γράφουσι τὸ τ ἀντὶ τοῦ κ· ποτὲ δὲ τὸ κ ἀντὶ τοῦ τ. α΄. 1.

Δωριέων πεντάπολις, ϗ ὅτι ἦν Λίνδος, Ἄλυζος, Κάμηρος, Κῶς, Κνίδος. ιζ΄. 69.

Δωριέων ἀγὼν, ϗ ὅτι ἄγεται κοινῇ ὑπὸ Δωριέων ἀγὼν ἐν Τριόπῳ, Νύμφαις, Ἀπόλλωνι, ϗ Ποσειδῶνι. ιζ΄. 69.

Δωρικὴ συναλοιφὴ τὸ χ᾽ ὥτερος. ζ΄. 36.

## Ε.

Εψιλὸν ϗ ὅτι Δωρικῶς εἰς α τρέπεται. α΄. 4.

Ἔαρ ὁρόωσα, ἱλαρὸν ϗ ἡδὺ βλέπουσα· ἀπὸ τῆς περὶ τὸ ἔαρ τερπνότητος. ιγ΄. 45.

Ἔβα ϗ ταῦρος ἂν ὕλαν· παροιμία ἐπὶ τῶν μὴ ἀναστρεφόντων. διὰ τὸ, τοὺς ταύρους ὕλης ἐπιλαμβανομένους ἀλήπτους εἶναι. ιδ΄. 43.

Εβρος, ποταμὸς καταφερόμενος ἀπὸ Ῥοδόπης, ϗ ἐξερευγόμενος κατὰ πόλιν Αἶνον. ζ΄. 112.

ἔγχριστον, ὧπερ χριόμεθα εἰς θεραπείαν. ια΄. 2.

ἔθειραι, αἱ ἐξ ἔθους γινόμεναι τρίχες, αἱ ἐξ ἔθους τημελούμεναι. α΄. 34.

ἐθειράζειν καὶ κομᾷν ταυτὸ, πλὴν ὅτι τὸ μὲν κομᾷν ἐστὶ κοινόν. τὸ δὲ ἐθειράζειν ποιητικόν. α΄. 34.
ει. καὶ ὅτι τὴν ει δίφθογγον τρέπουσιν εἰς αι οἱ Δωριεῖς. α΄. 4.
εἰλιτενὴς ἄγρωστις, ἡ συνεστραμμένη· καθὸ εἰλεῖται ἐπὶ μῆκος, καὶ περιπλέκεται τοῖς φυτοῖς κισσοειδῶς· ἢ εἰλιτενὴς ἡ τεινομένη ἅμα καὶ ἑλισσομένη. ιγ΄. 42.
εἵλωτες, οἱ δουλεύοντες τῶν ἐλευθέρων παρὰ Λακεδαιμονίοις. ις΄. 35.
εἵρπομες, ἀντὶ τοῦ ἀπερχόμεθα, καὶ ὅτι τὸ ἕρπειν κυρίως ἐπὶ ὄφεως καὶ σκωλήκων καὶ ἑτέρων ἀπόδων ζώων λέγεται· καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν νωθέστερον καὶ ἀσπουδεὶ πορευομένων· νῦν δὲ ἐπὶ τοῦ βαδίζειν. ζ΄. 2.
εἴσπνιλος, ἐραστής. ιβ΄. 13.
ἑκάτη χθονία, ἡ νερτέρων πρύτανις. β΄. 12.
ἐκ Διὸς, ὅτι ἀψευδής ἐστιν ὁ Ζεύς. ζ΄. 44.
ἐκέλευ, ἐκέλευσας, καὶ κατὰ ἀποκοπὴν Δωρικῶς, ἐκέλευ. ἢ κέλω λέγεται τὸ προστάττω, ὁ παρατατικὸς ἐκελόμην ἐκέλου, καὶ Αἰολικῶς ἐκέλευ. γ΄. 11.
ἔκηλος καὶ εὔκηλος, καὶ ὅτι χωρὶς μὲν τοῦ υ, δασύνεται, ὅτε δὲ προσλάβῃ αὐτὸ, ψιλοῦται. β΄. 166.
ἐκλελάθοντα, λήθης ποιητικόν. ἀπὸ τοῦ λελάθω ἐνεστῶτος. α΄. 63.
ἐκναισεῦντι, διαλέγουσι. ιε΄. 88.
ἐκπεπότασαι τὰς φρένας, τὸν νοῦν ἐκτετοπισμένον ἔχεις. β΄. 19.
ἐκπίθου ἀντλεῖς, ἐκ περιουσιάς· παροιμία ἐπὶ τῶν ἐν περιουσίᾳ ζώντων. ι΄. 13.
ἐκποδὸς ἄνυε κράναν, ἐκ βάθους, ἢ ἀφ᾽ ὑψηλοῦ. ζ΄. 6.
ἐκ ψυχῆς, ἐξ ὅλης τῆς προθυμίας. η΄. 35.
ἐλαιὸς, ὁ ἀγριέλαιος, ἐξ οὗ ὁ ὀλυμπιακὸς στέφανος σύγκειται. δ΄. 7.

ἑλίκας ῥίον, τοῦ ὄρους τὸ ἀκρωτόριον. α΄. 125.
ἑλικτὰν, περιειλημμένην. α΄. 129.
ἑλιννύω, τὸ βραδύνω· ἑλιννύσαι τὸ καῦμα, ἤγουν τὸ μέσον τῆς ἡμέρας ἠρεμεῖν. ι΄. 51.
ἑλίχρυσος, εἶδος φυτοῦ, οὗ τὸ ἄνθος ὅμοιον κρόκῳ, καὶ οἷον χρυσοειδές. κατ' ἄλλους δὲ βοτάνη. α΄. 30.
ἕλκεις τοὺς πόδας, βαδίζεις. ζ΄ 21.
ἔλλοπες, οἱ ἰχθύες, παρὰ τὸ ἐν λεπίσιν εἶναι, ἢ παρὰ τὸ λεπιδωτὸν τῶν ἰχθύων, ἢ παρὰ τὸ ἐλλείπεσθαι φωνῆς. α΄. 43.
ἐλλοπιεύειν, τοὺς ἰχθῦς ἀγρεύειν. α΄. 43.
ἐλυγίχθης, Δωρικὸς ἀόριστος παθητικός. α΄. 98.
ἔμβρυον, ἀπὸ τοῦ ἐν ἑαυτῷ τὴν βορὰν ἔχειν, ἢ ἀπὸ τοῦ ἐμβρύειν καὶ αὔξεσθαι. θ΄. 19.
ἐνδοῖ, ἀντὶ τοῦ ἔνδον, τοπικὸν ἐπίῤῥημα, ὡς τὸ Μεγαροῖ, Πυθοῖ· καὶ ὅτι ἀντιπίπτει τούτοις οἴκοι. ιε΄. 1.
ἐνδυμίων, καὶ Ἐνδυμίωνος πέρι. γ΄. 50.
ἐνάργει, τὴν μετ' αὐτῆς δηλονότι μίξιν. δ΄. 61.
ἔνηβοι, οἱ πεντεκαιδεκαετεῖς καὶ ποῤῥωτέρω. η΄. 3.
ἐνόρχην, τὸν ὄρχεις μεγάλους ἔχοντα. γ΄. 4.
ἐξαλάπαξε, ἐδαπάνησεν. β΄. 85.
ἑορτὴ Ἀρκαδική. ζήτει ἐν τῷ Ἀρκαδικὴ ἑορτή.
ἐπ' Ἀλφεὸν, ἀντὶ τοῦ ἐπὶ τὴν Ὀλυμπίαν. δ΄. 6.
ἐπαναφορὰ, καὶ ὅτι γίνεται, ἢ κατὰ κῶλον, ἢ κατὰ λέξιν. θ΄. 1.
ἐπάξα, ἀντὶ τοῦ ἐπήξω· οἱ γὰρ Συρακούσιοι διὰ τοῦ α προφέρονται τὸ δεύτερον πρόσωπον τοῦ πρώτου μέσου ἀορίστου. δ΄. 28.
ἐπέπταρον, καθὸ τῶν πταρμῶν οἱ μὲν εἰσὶν ὠφέλιμοι, οἱ δὲ βλαβεροί. ζ΄. 84.
ἐπεσσόμενοι, οἱ ἐσόμενοι καὶ μέλλοντες ἔσεσθαι, ἤτοι οἱ μεταγένεστεροι. ιβ΄. 11.

ἐπιμελη-

ἐπιμελητὴς, ὁ ἐργοδότης. ι΄. 54.
ἐπὶ ξηροῖσι καθιζεῖν, ἀντὶ τοῦ ἐπὶ κενοῖς. α΄. 57.
ἐπίουρος, ἐπίσκοπος, φύλαξ. η΄. 6.
ἐπίπαστα, ἅπερ ἐπιπάττομεν. ια΄. 2.
ἐπιτυμβίδιοι κορυδαλίδες, αἱ ἐπὶ τῇ κεφαλῇ τὸν τύμβον φέρουσαι τοῦ πατρὸς αὐτῶν, ἢ ὅτι ἐπὶ τάφοις ὡς ἐπιπολὺ διατρίβουσι. ζ΄. 23.
ἐπύγιζον, πυγμαῖς ἔτυπτον, ἔκρουον, ἢ ἐπέραινον, ἐβάτευον. ε΄. 41.
ἔραται, ἀντὶ τοῦ ἐρᾷ, ἔρωτι τινὸς κατέχεται. β΄. 149.
ἐργατίνης, ἐργατίνου. β΄. 1.
ἔρδειν, ποιεῖν. β΄. 15.
ἐρείδω καὶ ἐρίζω διαφέρει, ὅτι ἐρίζειν ἐπὶ λόγων, ἐρείδειν δὲ ἐπὶ πράγματος. ε΄. 24.
ἐριθακὶς, ἡ μισθώτρια, ἀπὸ τοῦ ἔριθος ὑποκοριστικῶς ἢ ὄνομα κύριον· ἐστὶ δὲ καὶ ὄρνεον. γ΄. 35.
ἔριθοι, οἱ ὑπουργοὶ, ἤγουν ἱερουργοί. ιε΄. 80.
ἔριφος καὶ χίμαρος, καὶ ὅτι διαφέρει· ἔριφος γὰρ μέχρι τριῶν καὶ τεττάρων μηνῶν· χίμαροι δὲ ἐπὶ θηλυκοῦ, ἕως ἐνιαυτοῦ, τουτέστιν ἕως ἂν τέκωσι καὶ ἀμελχθῶσιν. α΄. 6.
ἐρίφων πέρι, καὶ ὅτι ἀστέρες εἰσὶν οἱ ἔριφοι· καὶ ὅτι τούτων ἀνατελλόντων ἀγριαίνεται ἡ θάλασσα. καὶ ὅτι ἑσπερίους καλεῖ τοὺς ἐρίφους, ὅτι δυόντων τῶν δύο ἐρίφων ἑσπέρας, νότος ταράσσει. ε΄. 53.
ἕρπειν, καὶ ὅτι κυρίως ἐπὶ ὄφεως, καὶ σκωλήκων, καὶ ἑτέρων ἀπόδων ζώων λέγεται. ζ΄. 2.
ἐρρῶ, ἐλευσόμαι. ε΄. 45.
ἐρωτύλος, ἐραστὴς, ὑποκοριστικῶς· καὶ ὅτι παροξύνονται τὰ τοιαῦτα πλὴν τοῦ ὄξυνος, καὶ τοῦ Ἴτυλος. γ΄. 7.
ἑσδώμεθα, καθεζώμεθα, ἢ καθίσωμεν. α΄. 21.
ἐς τέλος, ἐπιῤῥηματικῶς ἀντὶ τοῦ, τελευταῖον. β΄. 152.

ἐσχατό-

ἐσχατόεντα, τὸν ἐν ἐσχάτοις μέρεσι τῆς γῆς ὄντα. ζ΄. 77.
ἐς ὠρανὸν ἀλεῦμαι, ἐκ περιχαρίας ἐς τὸν οὐρανὸν ἀναβήσομαι. ε΄. 144.
ἐτεόκλειοι Χάριτες, διὰ τὸ Ἐτεοκλέα τὸν Κηφισοῦ πρῶτον ἐπιθῦσαι Χάρισιν ἐν Ὀρχομενῷ τῷ Μινυείῳ. ις΄. 104.
ἔτος ὥριον, τινὲς ὅλον τὸν ἐνιαυτόν· μᾶλλον δὲ ὁ Θεόκριτος τὸν τριμηνιαῖον καιρὸν οὕτω καλεῖ. ζ΄. 85.
εὖ ἕλκων, εἴρηται μεταφορικῶς, ἀπὸ τῶν βοῶν, τῶν ἐκ νέου ἐθισμένων καλῶς ἕλκειν. ιγ΄. 15.
εὔκριθον, ἀπὸ μέρους τῆς κριθῆς τὴν εὔκαρπον παρεδήλωσε· ἅμα δὲ εὔκριθον τὴν ἀλωὰν λέγει τὴν εὔσιτον, διὰ τὸ δοκεῖν πρῶτον εὑρεθῆναι τὸν τῆς κριθῆς καρπόν. ζ΄. 34.
εὐκτὸς, μακάριος ἢ ὁ εὐχῆς ἄξιος, καὶ εὐκταῖος· ἀπευκτὸς δὲ καὶ ἀπευκταῖος, ὁ μισητός. ι΄. 52.
εὐπάκτου, εὐκόλως πηγνυμένου. α΄. 129.
εὗρε θεὸς τὸν ἀλιτρὸν, παροιμία. λέγεται δὲ ἐπὶ τῶν διδόντων δίκην τῆς ἁμαρτίας. ἢ κατὰ τῶν καυχωμένων, ὅτε ἐμπέσωσιν εἰς ἃ ἐκφεύγουσι. ι΄. 17.
Εὖρος, ποταμὸς ὁ καὶ Ἕβρος· καὶ ζήτει ἐν τῷ Ἕβρος.
εὐρύθεμις καὶ Κοττὼ, ἐν τῷ Κοττώ.
Εὐρύπυλος, καὶ Κλυτίας· καὶ ὅτι τούτων πέρι ἱστόρηται ὅτι οὗτοι εἰσὶν οἱ ἐπὶ τῆς Ἡρακλέους πολιορκίας τὴν Κῶ κατοικήσαντες, καὶ ὑποδεδεγμένοι τὴν Δήμητραν, καθ᾽ ὃν καιρὸν περιῄει ζητοῦσα τὴν Κόρην. ζ΄. 5.
εὐρὼς, κυρίως ἡ πρασινώδης ὁμίχλη. δ΄. 28.
εὖσα, ἤγουν οὖσα· τὸ γὰρ εὖσα ἀπὸ τοῦ ἔουσα γίνεται. β΄. 76.
ἐφίλαθεν, ἐφιλήθησαν, ἢ φιλοῦνται· ἐστὶ δὲ Αἰολικὸν, ὡς καὶ τὸ ἐκόσμηθεν. Καλλίμαχος δὲ τοῦτο παροξύνει. ζ΄. 60.
ἐφίσδει. ε΄. 97.
ἐχάνδανε, ἐχώρει· ἀπὸ τοῦ χῶ, τὸ χωρῶ, χάδω· καὶ ἀπὸ τοῦ

χάδω

χάδω χανδάνω, ὥσπερ ἀπὸ τȣ̃ ἥδω τὸ ἁνδάνω. ιγ'. 57.
ἐχθρὸς, ἐνίοτε μὲν ἐπὶ τȣ̃ ἐχθαίροντος, ἐνίοτε δὲ ἐπὶ τȣ̃ ἀπηχθημένȣ· καθὸ ϗ ἐνταῦθα. ϛ'. 23.
ἐχθρȣ̀ς, τȣ̀ς Καρχηδονίȣς. ιϛ'. 85.
ἔχω ȣ̓δ' ἄλις ὀξȣ̀ς, ἐπὶ ἀπορίας. ι'. 13.

## Z.

Ζατεῦσα, ζητȣ̃σα. α'. 85.
Ζατρίκιον, παιδιᾶς εἶδος. ϛ'. 18.
Ζέοντες, οἱ ταχεῖς. ε'. 79.
ζῶα, ϗ ὅτι τῶν ζώων πολλὰ ἀπὸ φωνῆς ἔχει τὴν κλῆσιν. ζ'. 139.
ζῶντ' ἄφες, ἀντὶ τȣ̃ ταχύν. ε'. 79.

## H.

Ἠδωνοὶ, ἔθνος Θρᾴκης. ζ'. 111.
ἠλαίνονται, ῥέμβονται, πλανώμεναι ϛρέφονται. ζ'. 23.
ἦλιψ, τὸ ὑπόδημα. δ'. 56.
ἥμενος, καθεζόμενος, ἀπὸ τȣ̃ ἕω τὸ καθέζομαι· ἕημι, ϗ τὸ παθητικὸν, ἕεμαι ἧμαι· ἡ μετοχὴ, ἑέμενος, ἥμενος. α'. 48.
ἦμεν, ἀντὶ τȣ̃ εἶναι· γίνεται δὲ ἐκ τȣ̃ ἔμμεναι, ἐκβολῇ τȣ̃ πρώτȣ μ, ϗ τροπῇ τȣ̃ ε εἰς η, ϗ ἀποκοπῇ τῆς αι διφθόγγου, ἦμεν. β'. 41.
ἦμες, ἀντὶ τȣ̃ εἶναι, Δωρικῶς. ζ'. 86.
ἡμιγένειος, ὁ ὑπὸ πᾶσαν γένυν πεπληρωμένην ἔχων γενείων. ϛ'. 3.
ἡνδάνω, ἀπὸ τȣ̃ ἥδω τὸ εὐφραίνομαι. ιγ'. 57.

ἤνιδε,

ἠνίδε, ἀντὶ τοῦ ἰδού. δασύνεται δὲ καὶ ὀξύνεται τὸ ἠνὶ, καὶ παρ' Ἀττικοῖς οὕτω προφέρεται. γ'. 10.

ἠρία, οἱ τάφοι, παρὰ τὸ ἐνηρίσθαι τῇ γῇ· ἢ παρὰ τὴν ἐπιχεομένην τοῖς νεκροῖς ἔραν, ἤγουν γῆν, ἥ ἐστιν ἱερά. β'. 13.

ἤρυγεν, ἤγουν ἐχώρει. ιγ'. 58.

ἠρώησε, κατέλιπεν, ἐξέφυγεν. ἀπὸ τοῦ ἐρωεῖσθαι. ιγ'. 74.

ἦς, ἦν. ς'. 2.

ἥσυχα, καὶ ὅτι ὁ Μούνατος παρώξυνεν, ἵνα ᾖ ἀντὶ τοῦ ἡσύχως, ἀγνοῶν ὅτι τὰ εἰς α οὐδέτερα πληθυντικὰ ἀντὶ τῶν ἐπιῤῥημάτων πολλάκις λαμβάνεται. β'. 110.

ἠχεῖον, καὶ ὅτι ὁ ἱεροφάντης τῆς Κόρης ἐπικρούειν εἴωθεν Ἀθήνησι τὸ καλούμενον ἠχεῖον. β'. 36.

## Θ.

Θαλλὸς, ἁπλῶς λέγεται θαλλὸς, πᾶν τὸ τεθηλός. κυρίως ὁ τῆς ἐλαίας βλαστός. δ'. 45.

Θαλύσια, ἑορτὴ ἣν ἐπετέλουν μετὰ τὴν συγκομιδὴν τῶν καρπῶν. ζ'. 1.

Θαλυσιὰς ὁδὸς, ἐπὶ Θαλύσια ἀνυομένη. ζ'. 31.

θᾶσαι, θέασαι. γ'. 12. καὶ δ'. 50.

θάψος, ξύλον τι ὃ καλεῖται σκυθάριον, ἤγουν Σκυθικὸν ξύλον· τούτῳ δὲ τὰ ἔρια βάπτουσι, καὶ ποιοῦσι μήλινα, καὶ τὰς τρίχας ξανθίζουσι, ἔστι δὲ τὸ κοινῶς λεγόμενον χρυσόξυλον· ἄλλοι φυτόν τι χλωρὸν, ὅθεν καὶ τὴν θαψίαν πρὸς τὰ ὑπώπια· βάπτεσθαι δὲ ἐκ ταύτης τὰ κροκοειδῆ. β'. 88.

θολίαν, τὸ σκιαδίον, τὸν πέτασον. ιγ'. 39.

θόωσα, ἡ μήτηρ τοῦ Πολυφήμου, Φόρκυνος θυγάτηρ. ια'. 67.

Θράκη, ϗ ὅτι ἡ Θράκη ἀνέμων ἐργαστήριον ἐκαλεῖτο. ζ΄. 121.

Θρέψαι λυκιδεῖς, παροιμία ἐπὶ τῶν κατ' αὐτῶν ποιούντων τι. ε΄. 38.

Θρὶξ ἀνὰ μέσον, ἤγουν ὀλίγου δέεται τὸ μεταξύ. ιδ΄. 9.

Θρίον, κυρίως τὸ τῆς συκῆς φύλλον, παρὰ τὸ εἰς τρία διεσχισμένον εἶναι· ϗ ὅτι ἀπ' αὐτοῦ δὲ ϗ θρίαμβος ὠνόμασται. ιγ΄. 40.

Θρόνα, ϗ ὅτι κατὰ Θεσσαλοὺς οὕτω λέγεται τὰ πεποικιλμένα ζῶα, κατὰ Κυπρίους δὲ τὰ ἀνθινὰ ἱμάτια, κατ' Αἰτωλοὺς τὰ φάρμακα· Ὅμηρος δὲ τὰ ῥόδα. β΄. 59.

Θύειν, ἀντὶ τοῦ τῶν παρόντων ἀπάρχεσθαι κατὰ τὴν τῶν παλαιῶν χρῆσιν· οὗτοι γὰρ οὐκ ἐπὶ τοῦ σφάττειν τοῦτο ἐτίθουν, ὡς οἱ νεώτεροι, ἀλλ' ἐπὶ τοῦ ἀπάρχεσθαι τῶν παρόντων· τὸ ἔρδειν δὲ ϗ τὸ ῥέζειν λέγεται ἐπὶ τῶν σφαγίων· λέγεται δὲ ϗ ἀντὶ τοῦ καίειν καὶ ἐν πυρὶ τιθέναι τὶ, καθὸ ϗ ἐνταῦθα. β΄. 3.

Θυλήματα, τὰ ἄλφιτα τῶν θυουσῶν φαρμακίδων. β΄. 18.

Θύμβρις, ποταμὸς Σικελίας· ϗ ὅτι κατά τινα γλῶσσαν Θύμβρις λέγεται ἡ θάλασσα· ϗ ὅτι κατ' ἄλλους Δύμβρις· ϗ τὰ ἱστορούμενα τοῦ ποταμοῦ πέρι. α΄. 118.

Θυσῶ, πυρὶ καύσω. β΄. 33.

## I.

Ἰαίνει, εὐφραίνει. ζ΄. 29.

Ἰάλεμος, ὁ θρῆνος. ι΄. 41.

Ἴδαι, ϗ ὅτι ἴδας φασὶ πάντα τὰ ὑψηλὰ ὄρη· ἀπὸ τοῦ ἀπ' αὐτῶν δύνασθαι ὁρᾶν πάντα. ιζ΄. 9.

ἰδὲ, ϗ ὅτι τὸ ἰδὲ ἀντὶ τοῦ ϗ γράφεται· ϗ ὅτι κατὰ παλαιόν τι σχόλιον τινὲς χωρὶς τοῦ δ γράφουσιν, ἐκτείνουσι δὲ τὸ ι, ἵνα ἀντωνυμία τυγχάνῃ ἡ δεικτική. ϛ΄. 9.

ἰθὺ, εὐθύ. ιέ. 42.
ἵλαθι, ἀντὶ τοῦ ἱλάσθητι, κατ' ἀποκοπὴν Δωρικῶς. ιέ. 143.
ἰλεὸν, τὸν φωλεὸν, ἀπὸ τοῦ τὰ ἑρπετὰ ἐν αὐτῷ εἰλεῖσθαι. ιέ. 8.
ἱμέρα, καὶ ὅτι πόλις ἐν Σικελίᾳ, καὶ πηγὴ ἀφ' ἧς καὶ ῥεῖ ποταμὸς ὁμωνύμως τῇ πηγῇ καλούμενος· ἐνταῦθα δὲ τὸν ποταμὸν λέγει. έ. 124.
ἱμέρα, πτῶσις γενικὴ, καὶ ὅτι πόλις Σικελίας καὶ πηγὴ, καὶ ποταμός. ζ'. 75.
ἴονθοι, ἢ ὄνθοι, φύσκαι ἐπὶ τῆς ῥινὸς λευκαί. ιϐ'. 24.
ἴουλος, ὕμνος οὕτω λεγόμενος. ί. 41.
Ἱπποκόωντι καὶ Ἱπποκίωνι, διαφορὰ γραφῆς ἐν τῷ, παρ' Ἱπποκόωντι ποταύλει· καὶ ὅτι ὁ μὲν παρ' Ἱπποκόωντι γράφων λέγει, τῷ ποταμῷ· ὁ δὲ παρ' Ἱπποκίωνι, λέγει τῷ οὕτω καλουμένῳ. ί. 16.
ἱππομανὴς, φυτὸν μὲν κατὰ τὸν Θεόκριτον· κατὰ δὲ τοὺς περιττοὺς σαρκίον φυόμενον ἐπὶ τοῦ μετώπου γλοιῶδες, ἔλαττον ἰσχάδος· ἴσως δὲ φυτὸν ἀντὶ τοῦ φύματος. β'. 48.
Ἱππομένης, ὁ Ἄρεος, τῆς Σχοινέως Ἀταλάντης τῆς δρομαίας ἐρασθεὶς, καὶ τὰ ἱστορούμενα τοῦ Ἱππομένους, καὶ τῆς Ἀταλάντης πέρι. γ'. 40.
ἰσοπαλὴς, ἴσος ἐν κλήρῳ· πάλος γὰρ ὁ κλῆρος, ἢ ἐκ τοῦ πάλη. έ. 30.
ἰσχάδες Ἀττικαὶ, καὶ ὅτι ἡδεῖαι αἱ Ἀττικαὶ ἰσχάδες. ά. 147.
ἰσχία, τὰ ὑπὸ τὴν ὀσφὺν ἐξ ἑκατέρων τῶν μερῶν ὀστᾶ, ἐν οἷς ἔγκειται τὸ ἱερὸν ὀστοῦν. ϛ'. 30.
ἴϋγξ, καὶ ὅτι ὄρνεον Ἀφροδίτης, ὃ καὶ αἱ φαρμακίδες συνεργὸν ἔχουσι πρὸς τὰς μαγείας· καὶ ὅτι αὕτη ἐστὶν ἡ παρὰ Ῥωμαίοις σεισοπυγὶς καλουμένη· καὶ τὰ ἱστορούμενα τῆς Ἴϋγγος πέρι. β'. 17.
ἰΰζειν, τὸ λιγυφωνεῖν· κυρίως δὲ ἐπὶ γυναικῶν. ή. 30.

ἰϋκτὰ, Δωρικῶς ἀντὶ τοῦ ἰϋκτής. ή. 30.

## Κ.

Κάγκελος, ἡ τῶν δρομέων ἀφετηρία. ή. 58.

Καθαίρειν, τύπτειν, ἐκδέρειν· ἐκάθηρε, ἔτυπτε, ἐξέδερε. έ. 119.

Καθαρῶ ἀργυρίω, καθαροῦ ἀργυρίου. ιέ. 36.

καθίξας, Δωρικὸν, τροπῇ τοῦ σ εἰς ξ· οἱ γὰρ Δωριεῖς τὸν μέλλοντα τῆς τετάρτης τῆς ληγούσης εἰς ζ, διὰ τοῦ ξ ἐκφέρουσιν. ά. 12.

καιρὸς καὶ χρόνος, καὶ ὅτι χρόνος τὸ συμπαρεκτεινόμενον τῇ συστάσει τοῦ κόσμου διάστημα· καιρὸς δέ ἐστι χρόνος δέων· καὶ ὅτι καιροὶ λέγονται καὶ αἱ τοῦ ἐνιαυτοῦ ὧραι. ζ'. 1.

κακοχράσμων, κακὸς εἰς τὸ χρῆσθαι αὐτῷ τινα, ἢ λειπόσαρκος, περὶ τοῦ ταύρου· ἔνιοι δὲ γράφουσι, κακοχράσμων γὰρ ὁ δᾶμος. δ'. 22.

κακόκναμοι, ἐπειδὴ αἱ αἶγες ἔχουσι λασίους πόδας, ἢ ἀπὸ τῶν ὀρῶν τῶν κρημνῶν, κακόδερμοι. δ'. 63.

καλαμαία, ἀντὶ τοῦ ἀρουραία. ἔστι δὲ ἀκρὶς ἐν τῇ καλάμῃ γινομένη, καὶ καλεῖται μάντις. ταύτην δέ φησιν εἰ προσβλέψει τινὶ τῶν ζώων, ἐκείνῳ κακὸν γίνεσθαι. ί. 18.

καλαμαία, κοινῶς ἡ καλάμη. ά. 52.

καλαμευτὰς, τοὺς θεριστάς. έ. 111.

καλάμη, τὸ καταλειπόμενον ἢ περιλειπόμενον ἐκ τοῦ θεριζομένου σίτου καλαμῶδες, καὶ τὸ τῆς κριθῆς· ταύτην δὲ νεαρὰν οὖσαν ὑποτεμνόμενοι, φυσῶσιν ἐν αὐτῇ καὶ αὐλίζουσι. έ. 7.

καλὰν, καὶ ὅτι ἐπίθετόν ἐστι παρὰ τὸ κάζω ῥῆμα, ὃ δηλοῖ τὸ κοσμῶ, ὁ μέλλων κάσω· ἀφ' οὗ ῥηματικὸν ὄνομα καλὸς, τὸ θηλυκὸν καλή, ἢ ἀπὸ τοῦ καλῶ. ά. 52.

καλλητζίδα, τὴν ἄγρωστιν, ἰδιωτικῶς. ιγ'. 42.
κάλπιδα, τὴν ὑδρίαν τὴν ξύλινον. ε'. 127.
καλυδώνιον ἄνδρα, τὸν Διομήδην, ὅτι ὁ Τυδεὺς ἦν ἐκεῖθεν. ιζ'. 54.
καλύκεσσι, κάλυξι, κορύμβοις. γ'. 23.
καπυραὶ, αἱ κεκαυμέναι ὑπὸ τοῦ ἡλίου διὰ τὴν θερμότητα, ἢ λευκότητα. ς'. 16.
κάρνεα, ἑορτὴ Ἀπόλλωνος Καρνείου, ἀπό τινος Κάρνου μάντεως τῶν Ἡρακλειδῶν, καὶ ταύτης τῆς ἑορτῆς πέρι τὰ μυθολογούμενα καὶ θρυλλούμενα. ε'. 83.
καρπῷ κροκόεντι, κρόκου χροιὰν ἔχοντι. α'. 31.
κασταλίδες, ἀπὸ τῆς ἐν Δελφοῖς κρήνης ἔνθα αἱ Μοῦσαι διατρίβουσι. ζ'. 148.
καταθύσομαι, καὶ ὅτι ὁριστικὸν ἀντὶ ὑποτακτικοῦ. β'. 3.
κάταντες, κατωφερὲς ὅπερ ἐναντίον ἐστὶ τῷ ἄναντες. α'. 13.
καταπτυχὲς, τὸ δίπτυχον καὶ διπλοῦν· λέγει δὲ τὴν διπλοΐδα. ιε'. 34.
κατασμύχων, καὶ ὅτι σμύχω τὸ καίω υ ψιλόν· σμήχω δὲ τὸ καθαίρω η· ἐξ οὗ καὶ σμῆγμα τὸ σαπώνιον. γ'. 17.
καταχὲς, κατωφερὲς, ἢ ἠχοῦν, ἢ τὸ καταχεόμενον, ἢ ὑπηχοῦν καὶ ὑποῤῥοιζοῦν ἐν τῷ καταφέρεσθαι. α'. 7.
κατέβα ἀφ' ἰσῶ, κέκοπται ἀφ' ἴσου, ἢ καθῃρέθη, καὶ οἷον ἐξυφάνθη. ιε'. 35.
κατήλασα, ἐπέραινον. ε'. 116.
καύκασον ἐσχατόεντα, τὸν περὶ τὰ ἔσχατα τῆς γῆς ὄντα. ζ'. 74.
καχαξῶ, καταγελάσω. ε'. 142.
καχλάζοντα, ἠχοῦντα· ἢ καχλάζειν, τὸ ψοφεῖν τὸ κῦμα φερόμενον ἐπὶ τοὺς κάχληκας· ἐστὶ δ' ὀνοματοποιΐα ὁ τρόπος. ς'. 12.
κεὶς ὥρας κἤπειτα, ἀντὶ τοῦ, καὶ εἰς ὥρας καὶ εἰσαεί. ιε'. 74.

κεκλυσμένον, λελυμένον, κεχρισμένον. α'. 27.
κεκρηπιδωμένοι ἄνδρες, οἱ ἐν πόλει στρατιῶται. ιε'. 6.
κεκροταμένοι, διαῤῥαπισμένοι, ἐθάδες πανούργων ἔργων. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν κεκεντρωμένων χαλκῶν. ιε'. 49.
Κελέβη, ὄνομα πόλεως· ἐστὶ δὲ καὶ ποτήριον ξύλινον κυλικῶδες. β'. 2.
κενεὰν, κενὸν τὸ μέτρον. ιε'. 95.
κέονται, κεῖνται, καθέζονται. ε'. 129.
κερουλκίδες, αἱ ὑπὸ τῶν κεράτων ἑλκόμεναι. ε'. 145.
κερουχίδες, ἢ κεκρατημέναι τοῖς κέρασιν, ἢ αἱ οὖλα κέρατα ἔχουσαι. ε'. 145.
Κήϊος ἀοιδὸς, Σιμωνίδην φησί. ις'. 44.
κήρυλοι, αἱ ἀλκυόνες κατά τινας ὅταν γηράσκουσι. ζ'. 57.
κῆφα, καὶ ἔφη. α'. 82.
κιανοὶ, οἱ τὴν κῖον οἰκοῦντες, ἥ τις νῦν καλεῖται Προῦσα, ἀπὸ τοῦ τῶν Ἀθηνῶν βασιλέως Προυσίου. ιγ'. 30.
κιγκλίζειν, τὸ σαλεύεσθαι καὶ κινεῖσθαι, ἢ τὸ τὴν ὀσφὺν κινεῖν, μεταφορικῶς, ἀπὸ τῆς ἐν τῇ θύρᾳ κιγκλίδος. ἐστὶ δὲ κόραξ σιδηροῦς ἐμπίπτων εἰς τὸ μέσον καὶ ὑποκρατῶν τὴν θύραν, ἢ ἀπὸ τοῦ κίγκλου, ἔνιοι δὲ σεισοπυγίδα καλοῦσι. ε'. 117.
κίναδε, πανοῦργε· οἱ γὰρ Σικελιῶται τὴν ἀλώπεκα κίναδον λέγουσι· κίναδος δὲ παρὰ τὸ κινεῖσθαι τὴν αἰδῶ. ε'. 25.
κιναίθα, ἡ πρὸς τὸ κινεῖσθαι διάπυρος, ἤγουν ταχεῖα αἴξ· ἀπὸ τοῦ κινῶ, καὶ τοῦ αἴθω τὸ καίω, ἡ εὐκίνητος. α'. 150. καὶ ε'. 102.
Κῖος, ἡ Προῦσα νῦν καλουμένη. ἐν τῷ Κιανοί.
κίσσα, εἶδος ὀρνέου ἀμούσου, ἐπιθυμητικοῦ, μιμηλοῦ· ὅθεν ἐπὶ γυναικῶν τὸ κισσᾶν παραλαμβάνεται, παρόσον μὴ γεννῶσαι ἀνδίζονται πρὸς τὸ ποιεῖν. ε'. 136.
κισσαίθα, ὄνομα αἰγὸς, ἡ πρὸς τὸ γεννᾶν διάπυρος καὶ θερμή·

ἀπὸ

ἀπὸ τῦ κισσῶ, τὸ γλυνῶ ϗ τῦ αἴθω τὸ καίω, ἢ ἡ κισσὸν λδκὸν κατανεμομϑύη. α΄. 150.
κισσὸς, εἶδος βοτάνης ἀκανθώδυς ἐοικυίας ῥόδαις· ἐν ἐνίοις δὲ ῥοδάκισσος. ε΄. 131.
κισσὸς, καὶ ὅτι λδκὸς ϗ μέλας. ια΄. 46.
κισσύβιον, ποτήριον παρὰ τὸ κεῖσθαι ἐν αὐτῷ τὸ πίνειν, χισσύβιον ὄν. ἢ ξύλινον ἔκπωμα κεκοσμημένον γόμφοις πολλοῖς, ἢ καυκίον ξύλινον ποιμϑυικὸν, τὸ οἱονεὶ χισσόβιον. ἢ ποτήριον ἀγροικικὸν, ἴσως ἀπὸ τῦ κισσῦ, ἐξ ῦ κα[τ]ασκδάζε(ται) τὰ ποτήρια· καὶ ὅτι κοινοτέρως ϗ ἐπὶ πάντων τῶν ξυλίνων ποτηρίων ὁ λόγος τίθε(ται), παρὰ τὸ χεῖσθαι ἐν αὐτῷ τὸν οἶνον. α΄. 27.
κίστα, κιβωτίῳ. β΄. 161.
κλαξ, κλεὶς, παρὰ Δωριεῦσι. ζ΄. 84.
κλασῶ, ϗ ὅτι τῦ κλείω μέλλων κλείσω, παρὰ τοῖς κοινοῖς ἐν χρήσει, οἱ ποιηταὶ δὲ κληΐσω λέγυσι, διαλύσει τῆς διφθόγγυ, ϗ τροπῇ τῦ ε εἰς η. Εἶτα τροπῇ τῦ η εἰς α, ϗ προσγραφομένου τῦ ι, κλᾴσω, ϗ κλασῶ Δωρικῶς, καὶ κλαξῶ ἀπὸ τῦ κληΐζω, ϗ μέλλων κληΐξω, ϗ κλᾳξῶ. ς΄. 32.
κλητὸς, κεκλημένος. ζ΄. 24.
κλύζω, ϗ ὅτι ἐπὶ δύο λέγε(ται)· ἐπί τε τῦ διὰ κλυστῆρος ἰατρδάειν, ϗ ἐφ' ὑγρῶν, ὅταν τι ἐπέρχων(ται) καὶ ἐπικαλύπτωσι. α΄. 27.
κλοτία, θυγάτηρ Μέροπος, μήτηρ Χάλκωνος. ζ΄. 5.
κνακὸν, ξανθὸν, ἢ λδκόν· λδκὸν μὲν ἀπὸ τῦ καρπῦ, ξανθὸν δὲ ἀπὸ τῦ ἄνθυς. ἢ τὸ τῦ κνήκου ἄνθος. ζ΄. 16.
κνάκωνα, τὸν κνήκου χροιὰν ἔχοντα, ἢ τὸν λδκὸν τράγον· ἀπὸ τῆς κνήκης τῦ σπέρματος λδκῦ ὄντος, ἢ λάγνον. γ΄. 5.
κνίδη, ἀκαλήφη παρ' Ἀττικοῖς. ζ΄. 110.

κνίζα,

κνίζα, φυῖον χορτῶδες, ὃ αἱ θεσμοφοριάζουσαι διὰ τὴν ἁγνείαν σιβαδοποιοῦντ). δ'. 25.
κνίσδων, εἰς ἔρωτα διεγείρων. ς'. 25.
κνὶψ, ζῶον βραδυκίνητον. ις'. 93.
κνύζα, φυτὸν ψυκτικώτατον· ἀντὶ τοῦ κόνυζα νῦν. ζ'. 68.
κνυζᾶσθαι, καὶ ὅτι ἐπὶ τῶν γυναικῶν λέγετ) κυρίως, ὅτε προσερχόμεναι τινὶ φωνὴν ἀπὸ χαρᾶς ἀφιᾶσιν. καὶ ἄλλως δὲ κυρίως ἐπὶ τῶν ὀρνέων· καταχρηστικῶς δὲ ἐπὶ τῆς ἡσύχου καὶ ἀσήμου ὑλακῆς τῶν κυνῶν· ἐνταῦθα δὲ ἐπὶ τῶν βρεφῶν. β'. 109.
κόλε, κολοβὲ, περὶ τράγου· κόλος γὰρ λέγεται ὁ μὴ ἔχων κέρατα. η'. 51.
κόλον δόρου παρ' Ὁμήρῳ. η'. 51.
κόλχοι, ἀπὸ Κόλχου τοῦ Φάσιδος. ιγ'. 75.
κομάσαι, βλαστησάτω. α'. 133.
κονία, ἡ ἄσβεστος. α'. 30.
κονιάω, τὸ ἀσβέστῳ χρίω. α'. 30.
κορεῖν, τὸ καλλωπίζειν. α'. 47.
κορέσασθαι, χορτασθῆναι. η'. 67.
κόρθυς, ὁ σωρός. ι'. 46.
κόριον, κόρη ὑποκοριστικῶς. ια'. 60.
κόροιφος, ὁ κόρην ὀφώμενος. δ'. 62.
κόῤῥην, τὴν γνάθον, καὶ σιαγόνα οἱ Ἀττικοί. ιδ'. 34.
κορυδαλίδες, ἐπιτυμβίδιοι. ἐν τῷ ἐπιτυμβίδιοι κορυδαλίδες.
κορυδαλός· καὶ ὅτι ὁ κορυδαλὸς τῶν ὀρνέων πρῶτος περὶ τὸ λυκόφως ἐπὶ τὰς νομὰς ἀφικνεῖται, καὶ τελευταῖος ὑποστρέφει. ι'. 51.
κορύνη, ῥάβδος ἐπὶ τὸ ἄκρον βάρος ἔχουσαν, ῥόπαλον· εἴρηται δὲ παρὰ τὸ κάρα, ἤγουν τὸ ἄκρον βαρὺ ἔχειν· ῥόπαλον δὲ ἀμυντήριόν ἐστιν ἐξ ἑνὸς μέρους ῥοπὴν ἔχον. θ'. 23.
κορυπτίλος, ὁ τοῖς κέρασι πλήττων, ἀπὸ τοῦ κορύπτω, τὸ κερατίζω. ε'. 147.

κορύτ]ειν, κερατίζειν. τὸ γδ κερατίζειν κορύτ]ειν οἱ Ἀτ]ικοὶ λέγεσιν, ὡς συντρεχόντων ἀλλήλοις τῶν κριῶν, καὶ τὰς κορυφὰς πληττόντων, καὶ ῥηγνυμένων. γ'. 5.
κοσκινόμαντις, ἡ διὰ κοσκίνου μαντευομένη. γ'. 31.
κοτ]ὼ ϗ Εὐρύθεμις, Τιμάνδρεως θυγατέρες, ἃς ἐτίμησαν Ἡρακλεῖδαι, διὰ τὸ συναγωνίσασθαι αὐτοῖς κατὰ τὴν εἰς Πελοπόννησον ἄφιξιν. ς'. 40.
κοτυτ]αρὶς, ὄνομα κύριον, ἢ παρὰ τὸν κότον, ἢ ἀπὸ τῆς παρὰ Δωριεῦσι τιμωμένης Κοτ]ῦς. ς'. 40.
κύδεα, κοινῶς, ἡ κεφαλὴ, ἡ ἀνθοφόρος βοτάνη, μήκων. ια'. 57.
κοχύεσκε, κατέτρεχε, κατεφέρετο, ϗ δαψιλῶς ἔῤῥει· κόχος γδ ὁ δαψιλὴς ῥῦς, κατ᾽ ὀνοματοποιΐαν. β'. 107.
κρᾶθις, ποταμὸς περὶ Σύβαριν. ε'. 16. καὶ ε'. 124.
κρανιάδες, αἱ Νύμφαι, ἢ αἱ πηγαί. α'. 22.
κράνων, πόλις τῆς Θεσσαλίας. ις'. 38.
κράσπεδον, τὸ ἄκρον τῦ κάτω μέρυς τῦ ἐνδύματος. νῦν δὲ κράσπεδον, μέρος τῦ κρασπέδου. β'. 53.
κρέωνδας, καὶ ὅτι ὁ Σκόπας Κρεώνδας. α'. 39.
κρηπῖδες, κεκρηπιδωμένοι ἄνδρες. ιε'. 6.
κρῆς, κρέας. α'. 6.
κρωσσὸς, τὸ ὑδροφόρον ἀγγεῖον. ιγ'. 46.
κυανέαι, ϗ ὅτι κυανέαι ὑπὸ ἀνθρώπων· ὑπὸ δὲ τῶν θεῶν ὄρκυ πύλαι καλοῦνται. ιγ'. 22.
κύδων, πόλις Κρήτης. ζ'. 12.
κυδωνικὸν, Κρητικόν. ζ'. 12.
κυκλάμινος, βοτάνιον ποιῶδες, λεπ]όῤῥιζον, ὅπερ χλιασθὲν ποιεῖ πρὸς χίμετλα. ε'. 123.
κυλοιδιόωντες, οἰδοῦντες τὰ κοῖλα τὰ ὑπὸ τῦς ὀφθαλμῦς. α'. 38.
κυμαίθα, ὄνομα βοὸς ϗ αἰγὸς, παρὰ τὴν κώμυθα· ἢ παρὰ

τὸ ἄηθη, ϗ τὸ κόμη, ἡ τὰς κόμας ἄθας ἔχουσα, τουτέστι ξανθάς, ἢ ἐγκύμων. ά. 46.
κύμινον πρίειν, ἐπὶ φειδωλῶν. ί. 54.
κυμινοπρίστης, ὁ φειδωλός. ί. 54.
κυνόσβατος, φυτάριον, ὅμοιον ῥόδῳ ἔχον τὸν καρπὸν, ἀκανθῶδες, μεταξὺ θάμνου ϗ δένδρων. έ. 92.
κύπειρος, ϗ ὅτι βοτάνη ἐστὶ μικρά τις ϗ εὐώδης. ά. 106.
κύτισος, ϗ ὅτι κύτισος, ἄγιλος, ϗ σχῖνος, θαμνοὶ οὓς ἐπινέμονται αἱ αἶγες. έ. 128.
κῶς, καὶ ὅτι ἐν Κῷ ἐπεδήμησεν ὁ Θεόκριτος. ζ΄. ἐν τῇ ὑποθέσει.
κωμάζειν, ἐπὶ τῶν κατὰ νύκτα εἰς τὰς ἐρωμένας ἀπερχομένων. γ΄. 1.
κωμικὴ διασκευή. δ΄. 26.
κώμυς, ἡ δέσμη, ἤτοι τὸ δεσμάτιον, ἢ δέσμη χόρτου ἱκανὴ εἰς τροφήν. δ΄. 18.
κώναρος, ὅτι λέγεται διὰ τὸ κέρατα περιφερῆ ϗ τραχέα ἔχειν, ὡς κώνους, ἤγουν στροβίλους. έ. 102.
κῶρος, κοῦρος νέος, ϗ κόρη, ἀπὸ τοῦ κορεῖν. ά. 47.
κωτίλλη, ἡ χελιδών. ιέ. 87.
κωτίλλουσαι, ἤγουν πολυλογοῦσαι· κωτίλλη γὰρ ἡ χελιδών. ιέ. 87.

## Λ.

Λαγωβόλον, ξύλον ᾧ διαφεύγοντες οἱ λαγωοὶ βάλλονται. δ΄. 49. καὶ ὅτι τὸ λαγωβόλον, ὅπερ κορύνην εἶπεν ἄνωθεν· ϗ ὅτι εἴρηται παρὰ τὸ βάλλειν τοὺς λαγωούς. ζ΄. 128.
Λαιτομεῖς, θερίζεις· ἀπὸ τοῦ λήϊον τὸ χωράφιον. ί. 3.
Λακίνιον, ἀκρωτήριον, ἀπό τινος Λακίνου Κερκυραίου, τοῦ ὑποδεξα-

ποδεξαμένυ· Κρότωνα φά'γοντα, ἔχον ἱερὸν Ἥρας. δ'. 33.
λάμπυρος, ὄνομα κυνὸς, ἀπὸ τῦ λαμπρὰν ἔχῳν τὴν ὑρὰν, ἢ πυῤῥάν. ἢ ὁ ἐπιμελῶς φυλάσσων. ἢ παρὰ τὸ λαμπυρὶς ἴσως ἐιναι· ἐπειδὴ κύνες εἰσὶν ἀλώπηξιν ὁμοῖοι· λαμπυρὶς γδ' ἡ ἀλώπηξ. ή. 65.
λαμπριάδαι, ὁ τῶν λαμπριαδῶν δῆμος, ἀπό τινος Λαμπρίυ. δ'. 21.
λασίοιο, ἀντὶ τῦ τετριχωμϑύυ, ὐκ ἀντὶ τῦ δασέως. ζ'. 15.
λάτυμνον, ὄρος Κρότωνος. δ'. 19.
λαψῆ, καὶ ὅτι ἐκτέταται τὸ λα, διὰ τὸ ἐιναι Δωρικόν. α. 4.
λείϐειν, ἐνίοτε ἀντὶ τῦ σπένδειν, ἐνίοτε ἀντὶ τῦ χεῖν ἁπλῶς. β'. 3.
λελοίπει τὰ λίνα ἐκ μοιρῶν, ἐπεπληρώκει τὸ χρεών. α'. 139.
λέοντες, ϗ ὅτι ἐν Σικελίᾳ λέοντες ὐκ εἰσι. α'. 72.
λέπαργος, ὁ λευκὸς, ἢ ὁ λευκοποίκιλος, ἢ ὁ λευκόπλευρος· ϗ ὅτι οἱ μϑὺ ἀπὸ τῦ λέπας ἔχῳν ϗ τῦ ἀργὸν, ὅ ἐςι λευκὸν ἔχειν τὸ δέρμα· οἱ δὲ ἀπὸ τῦ λευκὸν ἐιναι κατὰ τὴν λαπάραν. δ'. 45.
λεπρὰς, τραχεῖα, ἢ λευκὴ, ἤγουν ὑπὸ κυμάτων λευκαινομϑύη, ἢ ὑψηλή. α'. 40.
λευκίτας, ἀπὸ τῆς λευκότητος τῦ τράγου πεποιημϑύον ὄνομα. ε'. 147.
λῆς βύλει ϗ θέλεις, ἀπὸ τῦ λῶ· ἢ Δωρικὸν, κατὰ ἀφαίρεσιν τῆς θεσυλλαβῆς. α'. 12.
λίθος, θηλυκῶς. ζ'. 26.
λιμνάδες, αἱ ἐν ταῖς λίμναις ἀναςρεφόμϑυαι Νύμφαι. ε'. 17.
λίνον, ἀντὶ τῦ ἐρίυ, παρὰ ποιηταῖς. α'. 139.
λιπαραίυ, τῦ ἐν τῇ Λιπάρᾳ τῇ νήσῳ. β'. 133.
λιπαρὰ παλαίςρα, ἐπεὶ οἱ παλαίοντες ἐλαίῳ ἠλείφοντο. β'. 51.

λὶς, ὁ λέων, καὶ τὸν λῖν, τὸν λέοντα. ιγ΄. 6.
λὶψ, ὁ ἄνεμος. θ΄. 11.
λόρδωσις, κύρτωσίς τις ἐπὶ τὰ ἔμπροσθεν. ε΄. 43.
λυγίζειν, καταδῆσαι, ἢ τοῖς βεργίοις δῆσαι, ἤτοι λύγοις, ἢ κάμψειν, δεσμεύειν. α΄. 97.
λυγιξῶ, Δωρικῶς ἀντὶ τοῦ λυγίσω. α΄. 97.
λυδία λίθος, ἡ δοκιμάζουσα τὸν χρυσὸν, παρὰ τὸ εὑρίσκεσθαι παρὰ Λυδοῖς. ιβ΄. 36.
λυκαίου, καὶ ὅτι χωρίον ἐστὶν εἰς ὃ ἐλθοῦσαν τὴν Λυκάονος Καλλιστὼ θυγατέρα, ἄρκτον οὖσαν, ὑπὸ Ἑρμοῦ τραφῆναι. α΄. 123.
λυκώπη, πόλις Αἰτωλίας. ζ΄. 72.
λυκωπίτας, ὁ ἀπὸ Λυκώπης. ζ΄. 72.
λύκωπος, καὶ ὅτι δῆμος ἀποίκων. ζ΄. 72.
λυσιμελείας ὕδατα καὶ λιμὴν, ἐν Συρακούσαις. ις΄. 84.
λυσσᾷν, καὶ ὅτι ἴδιον τῶν κυνῶν. δ΄. 11.
λυτιέρσας, ᾠδὴ θεριστῶν, καὶ ἱστορία διεξοδικὴ Λυτιέρσου πέρι. ι΄. 41.
λῶντι, θέλουσι. δ΄. 14.

## M.

Μαθηματικοὶ, καὶ ὅτι τῶν Πυθαγόρου, οἱ μὲν Σεβαστικοὶ ἐκαλοῦντο, οἱ δὲ πολιτικοὶ, οἱ δὲ μαθηματικοί. ιδ΄. 5.
Μαθηματικοὶ, οἱ περὶ τὰ μαθήματα γεωμετρικὰ καὶ ἀστρονομικὰ ἐν Πυθαγόρου. ιδ. 5.
Μαίναλον, ὄρος Ἀρκαδίας, ἀπὸ Μαινάλου, τοῦ Λυκάονος, υἱοῦ Ἑρμοῦ. α΄. 124.
μαιωτιστὶ, Σκυθιστί· Μαιῶται γὰρ οἱ Σκύθαι, οἱ περιοικοῦντες τὴν Μαιῶτιν λίμνην. ιγ΄. 56.
μαλακὸς ὕπνος, ὁ μαλακοποιός. ε΄. 51.

μαλθακὸς, ὁ τροφερός. ζ΄. 105.
μάλθη, κηρὸς ἀμόλγῃ συνεψημένος. ζ΄. 105.
μάλιμνον, καὶ ὅτι τὰς ἐς θάλασσαν ἐσομωμένας λίμνας οὕτω φασί. δ΄. 23.
μάνδραν, τὴν τῶν προβάτων ὀρκάνην, ἢ μάκτραν, ἢ βάκτραν, ἤγουν σκεῦος ξύλινον ἀβακοειδὲς, ὃ φύρειν εἰώθασιν. δ΄. 61.
μαννάκιον, κόσμος περιτραχήλιος. ια΄. 41.
μάννος, τὸ μαννάκιον, περιτραχήλιος κόσμος. ια΄. 41.
μαννοφόρως, καὶ ὅτι ἔν τισιν οὕτως γράφεται ἀντὶ τοῦ ἀμνοφόρως. ζήτει ἐν τῷ μάννος.
μάντις, ἀκρὶς ἐν τῇ καλάμῃ γινομένη, ἢ ὅτι προμαντεύεται λιμὸν φαινομένη, ἢ ὅτι κακόχρους καὶ πρασίζουσα οὖσα, οἷς ἂν ἐντρανίσῃ ζώοις, κακὸν προμηνύει. ι΄. 18.
μαρύεται, πέπλεκται. α΄. 29.
μάσακα, τροφήν. ιδ΄. 39.
μάταια τἄλλα παρὰ Κρότωνα τᾶστεα, ἐπὶ τῇ ἀνδρείᾳ τῶν Κροτωνιατῶν. δ΄. 33.
μάταν εἰς ἄνδρα γενειῶν, τουτέστι ματαιοπώγων ὑπάρχων· οἷον μάτην ἀνδρὸς πώγωνα ἔχων, διὰ τὸ μὴ χρῆσθαι τοῦ ἀνδρὸς ῥώμῃ. ιδ΄. 28.
μέγα, μεγάλως, καταπολύ. ε΄. 80.
μεγαίρειν, καὶ ὅτι τὸ φθονεῖν· ἐνίοτε δὲ ἀντὶ τοῦ μέμφεσθαι, ὡς καὶ νῦν, καὶ ὅτι τοῦτο σύνηθες τοῖς ποιηταῖς, τῷ φθονεῖν ἀντὶ τοῦ μέμφεσθαι χρῆσθαι, καὶ φθόνῳ ἀντὶ μέμψεως. ζ΄. 101.
μεγαρεῖς, οὐδενὸς λόγου ἄξιοι. ιδ΄. 49.
μεγαροῖ, ὡς Πυθοῖ, τοπικὸν ἐπίρρημα. ιε΄. 1.
μελάμπους, καὶ ὅτι οὕτως ἐκαλεῖτο, παρόσον τοὺς πόδας ἐξεκαύθη ὑπὸ τοῦ ἡλίου· καὶ τοῦ Μελάμποδος περὶ ἱστορία διεξοδική. γ΄. 43.

μελίζει, λιγυρῶς ἠχεῖ καὶ ᾄδει· μέλη γὰρ τὰς ᾠδὰς ἔλεγον. α΄. 2.
μελίσδετο, Αἰολικὸν, ἀντὶ τοῦ μελίζει. α΄. 2.
μέλισσαι, αἱ ἑταῖραι τῆς Δήμητρος. ιε΄. 94.
μελίτεια, εἶδος βοτάνης, τὸ κοινῶς λεγόμενον μελισσοβότανον, καὶ ὅτι γλυκίζει. δ΄. 25. καὶ ε΄. 130.
μελιτῶδες, ὦ Περσεφόνη. ιε΄. 94.
μελίχλωρον, οἷον μελανοχρῶτα ἠρέμα, καὶ οὐ λίαν μέλαιναν. ι΄. 27.
μελιχραὶ, χροιὰν ἔχουσαι μέλιτος, κιτρινοειδεῖς. ε΄. 90.
μελίχρουν, ἤγουν ἐοικυῖαν κατὰ τὸ χρῶμα μέλιτι, τουτέστι σιτόχρουν. ι΄. 27.
μελίχρουν δὲ καὶ κιττοειδές. ε΄. 95.
μεσαμέριον, κατὰ τὸ μέσον τῆς ἡμέρας. ζ΄. 21.
μεσάτη, ἀντὶ τοῦ μέση, παρὰ ποιηταῖς. ζ΄. 10.
μεσημβρινὸν, ἐκ τοῦ μεσημερινοῦ, ἐκβολῇ τοῦ ε, καὶ προσθέσει τοῦ β. α΄. 15.
μετόρχμιον, τὸ μεταξὺ τῶν φυτῶν. α. 48.
μηκάδας, τὰς αἶγας. α΄. 87.
μήκων, ἡ κεφαλὴ, καὶ ἀνθηφόρος βοτάνη, ἡ κοινῶς λεγομένη κώδεα. ια΄. 57.
μῆλα, πάντα τὰ ἄκρα τῶν δένδρων. γ΄. 13.
μήλοισι βάλλει, μηλοβαλεῖ, εἰς ἔρωτα· δηλονότι ὑπαγεσθαι βουλομένη. ς΄. 6. καὶ ε΄. 88.
μηνυτὴς καὶ ἄγγελος, ἐν τῷ ἄγγελος.
μίδεα, πόλις Ἄργους· οἱ δὲ κώμην αὐτήν φησι. ιγ΄. 20.
μιδεᾶτις ἡρωΐνη, ἡ Ἀλκμήνη. ιγ΄. 20.
μιλήσιοι τάπητες, καὶ ὅτι παρὰ Μιλησίοις οἱ τάπητες εἰς κάλλος ἐγίνοντο. ιε΄. 126.
μίλω, ἀντὶ τοῦ Μίλωνι· τὴν γὰρ δοτικὴν ἀντὶ τῆς γενικῆς ... εἶπεν, ὁ Μίλος. η΄. 51.

μίλων, ὁ Κροτωνιάτης, ὁ πολυφάγος λεγόμενος, ἢ περὶ τῆς τοῦ Μίλωνος τελευτῆς. δ'. 6.
μινυροὶ, μινυρίζοντες, λεπτῇ φωνῇ θρηνοῦντες. ιγ'. 12.
μιτύλαν, τὴν ἄκερων αἶγα. η'. 86.
μόλων ἢ Σίμων, οἱ τοῦ Ἀράτου ἀντερασαί. ζ'. 125.
μορμὼ, ὅτι εἰς κατάπληξιν τοῦτο ἐλέγοντο. ιε'. 40.
μυσῶν ὄρνιχες, καὶ ὅτι οὕτω λέγεται πάντα τὰ εὔφωνα τῶν ὀρνέων· νῦν δὲ τοὺς ποιητὰς λέγει. ζ'. 47.
μύλλει, ἐλαύνει, ὠθεῖ, περαίνει. δ'. 58.
μύνδος, ἢ ὅτι κατά τινας Ἀρκαδίας, κατά τινας δὲ Καρίας. β'. 29.
μυρῖκαι, αἱ μυρσίναι. α'. 13.
μύρμηκες, ἢ ὅτι ἐν Ἰνδοῖς τινὲς χρυσὸν μεταλλεύοντες. ιζ'. 107.

## N.

Νάκος, τὸ κώδιον· κατὰ Ζηνόδοτον, τὸ μαρσύπιον· ἢ ὅτι τὸ τῆς αἰγὸς δέρμα νάκος λέγεται, ὡς ἢ παρὰ Θεοκρίτῳ· ἐπάγει γὰρ, ἀνίκ' ἔθυσε ταῖς Νύμφαις τὰν αἶγα. ε'. 2.
Νάρκισσος θηλυκῶς. α'. 133.
Νείατον πόδα, τὰ κατώτατα τῶν ὀρῶν μέρη παρ' Ὁμήρῳ. ζ'. 6.
νειοὶ ἐκπονέοιντο, αἱ κεχερσωμέναι χῶραι νεάζοιντο πρὸς τὸν σπόρον· τουτέστιν ἀροτριοῖντο. ιϛ'. 94.
νέκταρ, ἀντὶ ὑπερβολικῆς μελιχρότητος. ζ'. 82.
νέκταρ, ἢ ὅτι κυρίως τὸ τῶν θεῶν πόμα, ἀμβροσία δὲ ἡ τούτων τροφή. ζ'. 82.
νένασαι, ὑπέστρωται, στεστόρεσται. θ'. 9.
νεοτευχὲς, νεωστὶ κατεσκευασμένον. α'. 28.

νήαιθος,

νήαιθος, ποταμὸς Κρότωνος, κ̓ ὅτι ὠνόμασαι, παρόσον ἐν αὐτῷ νῆας ποτὲ κατακαῆναι συνέβη τὰς Ἑλληνικάς. δ'. 24.
νηρηΐδες, κ̓ ὅτι εἰσὶ, Λευκοθέα, Παλαίμων, κ̓ Ἀφροδίτη. ζ'. 59.
νισαῖοι Μεγαρεῖς, οἱ πρὸ τῆς Ἀττικῆς· ἐπίνειον γὰρ Μεγαρέων ἡ Νίσα, ἀφ' ἧς Νισαῖοι οἱ Μεγαρῆες· ὠνομάσθησαν δὲ ἀπὸ Νίσου τοῦ Πανδίονος. ιβ'. 27.
νύμφαι, τὰ ἐν γυναικείῳ σχήματι ἐν τοῖς ὄρεσι φαινόμενα δαιμόνια. γ'. 9.
νύμφαι, κ̓ ὅτι οὕτως οἱ Λυδοὶ καλοῦσι τὰς Μούσας. ζ'. 92.
νυμφόληπτοι, οἱ μανιώδεις, παρόσον αἱ Νύμφαι τὸν φόβον, ἤγουν τὴν μανίαν, ἔσθ' ὅτε ἐπάγουσιν. ιγ'. 43.
νὺξ, κ̓ ὅτι ἐπὶ ἅρματος ὀχεῖται ποιητικῶς. β'. 166.
νωδὸς, ὁ ἐστερημένος ὀδόντων· κυρίως δὲ νωδὸς ὁ τοὺς ὀδόντας κτησάμενος, εἶτα ἀσθενείᾳ τινὶ ἢ γήρᾳ ἀποβεβληκώς. θ'. 21.

## Ξ.

Ξενέας, καὶ ὅτι κύριον ὄνομα κατά τινας· κατά τινας δὲ τῆς ἐκ Κρήτης ξένης· κ̓ ὅτι κ̓ ἔν τισι γράφεται οὐ Ξενέας, ἀλλὰ Ξανθᾶς. ζ'. 73.
Ξυλοχίζεσθαι, ξυλίζεσθαι, ξύλα τέμνων συνάγειν. ε'. 65.
Ξυστὶς, κ̓ ὅτι γυναικεῖόν τι ἔνδυμα πεποικιλμένον· ἢ περιβόλαιον λεπτὸν, ᾧ χρῶνται κ̓ οἱ ἁρματηλάται· ἀπὸ τοῦ τὸν χοῦν ξύεσθαι, ἢ ἀπὸ τοῦ ξύειν τὸν χρῶτα. β'. 74.

## Ο.

Ὄγμος, κυρίως ἡ ἀπ' ἀρότρου τομή· ἢ ὄγμον, τὴν αὔλακα λέγει, παρὰ τὸ διοιχθῆναι τὴν γῆν ὑπὸ τοῦ ἀροτρι-

ἀροτριῶντος· οἱ δὲ τάξιν, οἱ δὲ τὸν ὄρχον, οἱ δὲ τὸν χόρτον· κυρίως δὲ ὄγμος ἡ ἐπ' εὐθὺ τοῦ ἀρότρου τομή· νῦν δὲ ἐπὶ τῆς εἰς εὐθὺ τάξεως τοῦ θερισμοῦ. ι'. 2.

Ὄθρυς, ὄρος Θεσσαλίας. γ'. 43.

Ὀϊζυρὸς, ὁ ταλαίπωρος, καὶ ὅτι γίνεται ἀπὸ τοῦ ὀϊζὺς, ἡ κακοπάθεια. ι'. 1.

οἰκέτης καὶ δοῦλος, καὶ ὅτι διαφέρει· ἐν τῷ δοῦλος.

οἰναρέοισι, τοῖς φύλλοις τῆς ἀμπέλου. ζ'. 134.

οἰναρίζειν, τὸ περιαιρεῖν τῶν οἰναρέων καὶ τρυγᾷν. ζ'. 134.

οἶνος ἔρωτος· ὅτι οὕτω λέγεται ὃν πίνει τις μεμνημένος τῆς ἐρωμένης ἢ τοῦ ἐρωμένου. β'. 151.

οἰὸς ἀώτῳ, προβάτου ἄνθει, ἀντὶ τοῦ ἐρίῳ. οἰὸς ἀώτῳ, τῷ λεπτοτάτῳ καὶ ἐξαιρέτῳ ἐρίῳ. β'. 2.

οἰστρεῖν, δρομαίως ἔρχεσθαι. ς'. 28.

οἶστρος, καὶ ὅτι τοῖς βουσὶ πολέμιος ὁ οἶστρος· ὅταν γὰρ δάκνωσιν αὐτοὺς, οἰστρεῖν ποιοῦσι καὶ τρέχειν πολλὴν ὁδὸν μετὰ βοῆς ἐν τοῖς πεδίοις καταλιπόντας τὸν νομόν· καὶ ὅτι διαφέρει ὁ οἶστρος τοῦ μύωπος. ς'. 28.

οἰφεῖν, τὸ συνουσιάζειν. δ'. 62.

οἰφώλης γυνὴ, ἤγουν ἡ κατωφερής. δ'. 62.

ὀλολυγὼν, εἶδος ὀρνέου· καὶ ὅτι ζῶον κατά τινας ἐν βορβορώδεσι τόποις μάλιστα διάγον· ἀπὸ τοῦ ὀλολύζειν. ζ'. 139.

ὀλοφυγδὼν, ἡ φλυκτώδης φύσκα, ἣν οἱ Ἀττικοὶ ὀλοφυκτίδα λέγουσι· καὶ ὅτι κατά τινας ὀλοφυγδόνες εἰσὶ φύματα, ἤγουν ἀναβλαστήματα ἐπὶ τῆς ῥινὸς γινόμενα. ιθ'. 30.

ὄλπα, κυρίως ἡ δερματίνη λήκυθος, δι' ἧς ἐστὶν ὀπτήσασθαι τὸ ἔλαιον. β'. 154.

ὄλπα Δωρὶς, ἴσως τὴν χαλκῆν λέγει· διὰ τὸ Δωρίδα φάναι ἀντὶ Κορινθίας. β'. 154.

ὄλπις, ὁ ἀλιεύς· ἀπὸ τοῦ λέπω, λοπὶς, καὶ ἐν ὑπερθέσει τοῦ ο ὄλ-

πις, ὁ τοὺς λεπιδωτοὺς ἰχθύας ἀγρεύων· νῦν δὲ κύριον. γ΄. 26.
ὅμολος, Θετταλίας ὄρος, ἔνθα τιμᾶται ὁ Πάν. ζ΄. 103.
ὀμφάκινον ἔλαιον, τὸ ἐξ ἀώρων ἐλαιῶν γινόμενον. ια΄. 21.
ὄμφαξ, ἡ ἄωρος σταφυλή. ια΄. 21.
ὄνθοι, φύσκαι ἐπὶ τῆς ῥινὸς λευκαί, ἴονθοι. ιβ΄. 24.
ὀρδίνιον, κοινῶς οὕτω τὸν ὄγμον. ι΄. 6.
ὀρέγω, τὸ ἐκτείνω· ἐπεὶ δὲ ὃ δίδωσί τις, ὀρέγων τὴν χεῖρα δίδωσιν, ὤρεξα λέγει, ἀντὶ τοῦ ἔδωκα. ε΄. 135.
ὀρεῦσα, Αἰολικὸν ἀντὶ τοῦ ὁρῶσα. ε΄. 85.
ὀριμαλίδες, τὰ ὄρεια μῆλα, ἢ τὰ ἐν ὄρει μῆλα, καὶ ὅτι Ἀσκληπιάδης διὰ τοῦ ω μεγάλου γράφει· καὶ ὅτι αἱ ὀριμαλίδες τοῖς σύκοις συνακμάζουσι. ε΄. 94.
ὄρνιθες Μυσῶν, ἐν τῷ Μυσῶν ὄρνιχες.
ὀροδαμνίδες, παντὸς δένδρου οἱ κλάδοι· κυρίως δὲ ὀροδαμνίδας καὶ ὀροδάμνους τοὺς ἐν ὄρει θάμνους. ζ΄. 138.
ὀρτάλιχοι, οἱ νεοσσοὶ μικροί, μηδέποτε πετόμενοι. ιγ΄. 12.
ὄρχατος καὶ ὄρχος ὅτι διαφέρει· ὄρχος γάρ ἐστιν ὁ βόθρος, εἰς ὃν ἐντίθεται τὸ φυτὸν πρὸς μοσχείαν· ὄρχατος δὲ ἡ ἐπίστιχος φυτεία. α΄. 48.
ὅσον σθένος, ὅση δύναμις τῶν μελῶν· καὶ ὅτι ὁ σχηματισμὸς οὗτος καὶ τοῖς κοινοῖς συνήθης ἐστί. α΄. 42.
ὅσ' ἐν ὀνείρῳ, ὡσεὶ ἔλεγε περιουσίαν ἄφθονον. θ΄. 16.
ὀσσίχον, δεικτικῶς ἐμφαίνει τὴν τῆς ἀκάνθης σμικρότητα. δ΄. 53.
οὐ δᾶν, οὐ μὰ τὴν γῆν. ζ΄. 39.
οὐδὲν ἱερόν, ἐπὶ τῶν μηδενὸς ἀξίων παροιμία, καὶ ταύτης πέρι ἱστορία διεξοδική, καὶ ἐξήγησις. ε΄. 21.
οὔθατα, οἱ μαζοί. η΄. 42.
ὄχναι, ἄπιοι, ἀχράδες. α΄. 134.
ὀψαμάτης, ὁ μέχρις ὀψίας θερίζων, καὶ μὴ ἀποκάμνων. ι΄. 7.

Παίσδεις

## Π.

Παίσδεις ἔχων, καὶ ὅτι τὸ ἔχων παρέλκει Ἀττικῶς. ιδ'. 8.
πάλος, ὁ κληρός. ε'. 30.
πάλυν, τὸ λεπτότατον τȣ ἀλεύρου. δ'. 28.
παλύνεται, λεπτύνεται. δ'. 28.
πὰν, ϗ ὅτι οἱ μὲν Πηνελόπης ϗ Ἑρμȣ· ἄλλοι δὲ Διὸς ϗ Καλλισȣς· κατά τινας δὲ Αἰθέρος καὶ Οἰνηΐδος, ἢ Νηρηΐδος· καθ' ἑτέρȣς Οὐρανȣ ϗ Γῆς. α'. 123. ϗ α'. 3.
πὰν, ϗ ὅτι τῆς ὥρας ἐςὶ σημεῖον, ἤγουν τȣ παντός· ὅθεν ϗ προσαγορεύεται Πάν. α'. 3.
παντᾶ, ἀντὶ τȣ πάντῃ, Δωρικῶς περισπωμένως. η'. 41.
παρὰ, ϗ ὅτι ἔσθ' ὅτε πλησιότητα δηλοῖ. θ'. 9.
πάρορος, ὁ παρηρτημένος τὴν γνώμην· ἐκ μεταφορᾶς τῶν παρήρων ἵππων. ιε'. 8.
πάρηροι ἵπποι, οἱ τῷ ζυγῷ μὴ χρησιμεύοντες. ιε'. 8.
παρήσθα, ἐκόπτας, ἠδάνης. ε'. 120.
παρία λίθος, ϗ ὅτι λίθος λευκή. ς'. 38.
πέκειν, κυρίως τὸ ξαίνειν· ἐνίοτε δὲ τὸ κείρειν. ε'. 98.
πελειάδες, ϗ ὅτι τῆς τῶν Ἀμαζόνων βασιλίσσης θυγατέρες, πρῶτον τὴν χορείαν ϗ παννυχίδα συνεςήσαντο. ιγ'. 25.
πελειάδων ἀνατολὴ, ϗ ὅτι ἀρχομένȣ τȣ θέρȣς. ιγ'. 25.
πελίδνωμα, ἡ τȣ σώματος ἐπιφάνεια, ὅτε ὑφ' αἵματος μελανθῇ. ε'. 99.
πέλλα ἀγγεῖον ποιμενικόν. α'. 26.
πέλλαν, τὴν μέλαιναν. ε'. 99.
πέλλαμα, τὸ πελίδνωμα. ε'. 99.
πελοποννησισὶ, κατὰ τȣς Πελοποννησίȣς. ιε'. 92.
πενέσαι, ϗ ὅτι Θεόπομπός φησι τȣς δȣλεύοντας τῶν ἐλευθέ-

ρων, πενέσας καλεῖσθαι παρὰ Θεσσαλοῖς, ὡς παρὰ Λακεδαιμονίοις εἵλωτας. ιϛ'. 35.
πεπᾶσθαι, κεκτῆσθαι. ι'. 32.
πέπλῳ, ἐνδύματι. α'. 32.
πεποίθω, ἐνεςὼς, ὡς ἀπὸ τοῦ δέδοικα, δεδοίκω. ε'. 28.
περιβάλλω, τὸ ἐνδύω. ὅθεν καὶ περιβολὴ, τὸ ἔνδυμα. ια'. 19.
περιμήδη, καὶ ὅτι αὕτη ἐςὶν ἡ παρ' Ὁμήρῳ Ἀγαμήδη λεγομένη. β'. 16.
περιπέπλαται, πέριχέχυται. α'. 55.
περονατρὶς, ἀπὸ τοῦ περονᾶσθαι καὶ τῆς ἐπωμίδος ἐπιλαμβάνεσθαι, ὡς αἱ Μακεδονίτιδες. ιε'. 21.
πέτδρον, σανίδιον λεπτὸν καὶ τεταμένον, ᾧ καὶ εἰς τοὺς ὀρόφους ἀντὶ κεραμίων πολλοὶ χρῶνται. ιγ'. 13.
πικρὸς, ἀντὶ τοῦ βαρὺς καὶ ὀργίλος. α'. 17.
πίνδος, ποταμὸς Θετταλίας. α'. 67.
πίσα, ἡ νῦν Ὀλυμπιὰς, ἀπὸ Πίσου τοῦ Ἀφαρέως, ἢ ἀπὸ Πίσης τῆς Ἐνδυμίωνος θυγατρός. δ'. 29.
πίων, κατὰ πολὺ πλούσιος· ἢ πίονος, εὐκάρπου, ἢ λιπαροῦ, ἢ λαμπροῦ· μεταφορικῶς ἀπὸ τῶν εἰς αἴσθησιν πιπτόντων ὀσφαντικῶν· ἢ πίονα εἶπε τὸν καιρὸν τοῦ θέρους, διὰ τὸ ἐν αὐτῷ συλλέγεσθαι τοὺς καρποὺς. ζ'. 143.
πλαθάναι, ἐν αἷς διαπλάττουσι τοὺς ἄρτους. ε'. 115.
πλακερὸν, πλατύ. ζ'. 18.
πλακὸν, τὸ πλατύ. ζ'. 18.
πλατάγημα, τὸ πλαταγώνιον. γ'. 29.
πλαταγώνιον, τὸ τῆς μήκωνος φύλλον, καὶ τὸ τῆς ἀνεμώνης, ἀπὸ τοῦ πλάσσειν, ὅ ἐςι ψοφεῖν· τιθέντες γὰρ αὐτὰ κατὰ τὸν ἀντίχειρα καὶ τὸν λιχανὸν δάκτυλον, τύπτουσι τῇ ἑτέρᾳ χειρὶ, καὶ οὕτω σημειοῦνται εἰ ἀγαπῶνται ὑπὸ τῶν ἐρωμένων. ια'. 57.
πλέα, πλήρη. ε'. 59.

πλειάδων ὀνόματα, καὶ ὅτι εἰσὶ, Κοκκυμὼ, Πλαυσία, Πρωτὶς, Παρθενία, Μαῖα, Στονυχία, Λαμπαδώ. ιγ΄. 25.
ποικιλὶς, ἡ ἀκανθίς. ζ΄. 141.
πόλεις Πτολεμαίου, καὶ ὅτι τρισμύριαι, τριχίλιαι, τριάκοντα τρεῖς. ιζ΄. 81.
πολιτικοὶ, οἱ περὶ τὰ ἀνθρώπινα καταγινόμενοι παρὰ τῷ Πυθαγόρᾳ. ιδ΄. 5.
πολύγναμπτον, ὅλον, καὶ κάμπας ἔχον. ζ΄. 68.
πολυκράτης, ὁ Σαμίων βασιλεύς. ιζ΄. 70.
ποππύζειν, τὸ λεπτοτάτως φωνεῖν τινὰ φυσῶντα τὸν ἐκ τῆς καλάμης αὐλόν· ἢ ἐμπνεῖν. ε΄. 6.
ποππυλιάσδει, συρισμόν τινα συρίζει. ε΄. 89.
ποταείσομαι, προσυμνήσομαι. β΄. 11.
πότναν, τὴν θεὸν, ἤγουν τὴν κόρην. ιε΄. 14.
πραξιτέλεις, καὶ ὅτι δύο· ὁ μὲν ἀρχαιότερος ἀνδριαντοποιός· ὁ δὲ νεώτερος ἀγαλματοποιός. ε΄. 105.
πρίηπος, καὶ ὅτι Νύμφης Ναΐδος ἢ Χιόνης καὶ Διονύσου· ὅτι δὲ καὶ κατά τινας ὁ αὐτός ἐστι τῷ Διονύσῳ· καὶ ὅτι λέγεται ὡς βριήπυος διὰ τὰς ἐκβόησεις ἐν ταῖς μέθαις, ἢ ὁ προϊέμενος τὸ σπέρμα. α΄. 21.
πρόασμα, καὶ ὅτι πρόασμά ἐστι τὸ, Ἄρχετε βωκολικᾶς· καὶ ὅτι τὸ αὐτὸ ἐπῳδὴ λέγεται, καὶ ἐπιμελῴδημα. α΄. 64.
προσβάλλω, τὸ προσκρούω. ια΄. 19.
προῦσα, ἡ Κῖος ἀπὸ Προυσίου τῶν Ἀθηναίων βασιλέως. ιγ΄. 30.
πρόφρων, ἐπιρρηματικῶς· ἀντὶ τοῦ μετὰ προθυμίας. α΄. 60.
πρῶκα, τὴν σταγόνα, παρὰ τὸ πρωῒ πέμπεσθαι. δ΄. 16.
πρωτότοκος, ὁ πρῶτος τεχθείς. ε΄. 84.
πταρμοὶ, καὶ ὅτι τῶν πταρμῶν οἱ μέν εἰσιν ὠφέλιμοι, οἱ δὲ βλαβεροί. ζ΄. 96.
πτελέα, τόπος ἐν Κῷ, ἢ ἐν Ἀρκαδίᾳ. ζ΄. 65.

πτελεατικὸς οἶνος, ὁ Θεσσαλικὸς ἢ Ἐφέσιος. ζ'. 65.

πτολεμαῖοι, καὶ ὅτι τρεῖς ἐγένοντο, ὁ Λαγωὸς, ὁ Σωτὴρ, ὁ Φιλάδελφος. ιζ'. 41.

πτύειν ἐς τὸν κόλπον, καὶ ὅτι τοῦτο ποιοῦσιν αἱ γυναῖκες τὸ νεμεσητὸν ἐκτρεπόμεναι. ς'. 39.

πυθαγορισταὶ καὶ Πυθαγορικοὶ, καὶ ὅτι Πυθαγορισταὶ, οἱ ἀποδεχόμενοι τὰ Πυθαγόρου, μὴ ὄντες δὲ τῆς ἐκείνου δόξης· Πυθαγορικοὶ δὲ, οἱ οὕτω φρονοῦντες ὡς ἐκεῖνος, καὶ κατὰ Πυθαγόραν διαιτώμενοι. ιδ'. 5.

πυρὶ θάλπεαι, παροιμία ἐπὶ τῶν διά τι ἀποδιδομένων. ε'. 31.

πυρναίαις, ὡρίμοις, περκαζούσαις· οἱ δὲ, τὰς ἤδη ὥραν ἐχούσας τροφῆς· ἢ πυρναίαις, ταῖς τρωξίμοις. α'. 46.

πύρνον, τὴν τροφὴν ἔνιοι. α'. 46.

πύῤῥιχος, καὶ ὅτι ἀπὸ τοῦ πυρὸς, πύῤῥιχος κατὰ παραγωγήν· καὶ ὅτι τινὲς παροξυτόνως λέγουσι πυῤῥίχος· καὶ ὅτι ὑποκοριστικόν ἐστιν Αἰολικῶς· καὶ ὅτι πύῤῥιχος τὸ κοινῶς ὀσκάριος· καὶ ὅτι κατά τινας ἀπὸ Πύῤῥου τοῦ Ἠπειρωτικοῦ βασιλέως. δ'. 20.

πύῤῥος, Ἐρυθραῖος ἢ Λέσβιος μελῶν ποιητής. δ'. 31.

πυῤῥοτρίχω, πυῤῥότριχες. η'. 3.

πύξα, καὶ ὅτι δῆμος τῆς Κῶ, ἢ τόπος οὕτως ὀνομαζόμενος, παρὰ τὴν φύξιν τοῦ Ἡρακλέους τὴν ὑπὸ τῶν Κώων γενομένην, ἢ ὄνομα πόλεως. κατά τινας δὲ τόπος ἐν ᾧ ἱερὸν Ἀπόλλωνος Φυξίου. ζ'. 130.

## Ρ.

Ραγίζοντι, τὰς ῥᾶγας ἀναλέγουσι, ῥαγολογοῦσιν αὐτὰς, ἐσθίουσι. ε'. 104.

Ραδινὸν, τὸ ἐπίμηκες καὶ λεπτόν. τὸ ῥεῖα, ἤγουν εὐκόλως, δονούμενον. ια'. 45.

Ῥήναια,

Ῥήναια, νῆσος ὕτω λεγομένη, ἣν ἢ Δῆλον φασί. καὶ ὅτι τὴν Ῥήναιαν, προσῆψε τῇ Δήλῳ Πολυκράτης ὁ Σαμίων βασιλεὺς. ιζ. 70.
ῥίον, τὸ ἀκρωτήριον τῆς Πελοποννήσου, ἐναντίως τῷ καλυμένῳ Ἀντιῤῥίῳ τετραμμένον. α΄. 125.
ῥιπτεῖ, ῥίπτει, τρέπει. α΄. 37.
ῥὶς, καὶ ὅτι ῥὶς λέγεται ἐπὶ ἀνθρώπων, ῥύγχος ἐπὶ κυνῶν, ῥάμφος ἐπὶ ὀρνέων. ς΄. 30.
ῥοδάκιοσος, καὶ ὅτι τῶν θάμνων ἐςὶν αὕτη, γλυκῶδές τι ἄνθος προϊεμένη· καὶ ὅτι περὶ τὰ γόνατα καὶ τὸν πώγωνα τῶν τράγων πήσσεται. ε΄. 131.
ῥόδον, ἢ ὅτι λέγεται τὸ ῥόδον ἀπὸ τῦ θᾶττον ἀποῤῥεῖν· ῥοῶδες γάρ ἐςιν, ἤτοι φθειρόμενον. ε΄. 93.
ῥόδον, ἐπὶ τῆς γυναικείας ἥβης. ια΄. 10.
ῥοδόπη, ὄρος τῆς Θρᾴκης. ς΄. 77.
ῥοικὸς, καμπύλος. δ΄. 49.
ῥόμβος, ὁ τροχὸς, ὃν οἱ Ἀττικοὶ κόρυμβον καλῦσι· καί ἐςι τρίγωνος. β΄. 31.
ῥόπαλον, ἀμυντήριον ἑτεροῤῥεπὲς, ἐξ ἑνὸς μέρυς ῥοπὴν ἔχον, ἢ βάρος. θ΄. 23.
ῥύγχος, καὶ ὅτι κυρίως ἐπὶ τῶν ὀρνέων· νῦν δὲ καταχρησικῶς ἐπὶ κύνος. ς΄. 30.

## Σ.

Σάθη, ἡ εἰς τὴν ἐπιθυμίαν ἐκπύρωσις· ἢ σάθη, τὸ μόριον τῦ ἀνδρὸς, ὅπερ ἢ πέος λέγεται. δ΄. 62.
Σακίται ἄρνες, ἢ ὅτι ὕτω λέγονται, ὓς ἔτι γάλακτος δεομένυς οἱ νομεῖς τῶν μητέρων χωρίζυσι, ἢ ἰδίᾳ βόσκυσι, καὶ ἐν ἰδίῳ σηκῷ κλείυσι. α΄. 10.
Σαρδόνιον κῦμα, ἢ ὅτι διὰ τύτυ ἐς Καρχηδόνας ἐςὶ πλῦς

ὁ

ὁ κατὰ τὴν νῆσον Σαρδὼ, ὃ καλεῖται Σαρδῶον. ιϛ'. 86.
σατυρίσκοι. δ'. 62.
σάτυροι, καὶ ὅτι τοὺς σατύρους οἱ πλείονες φασὶν ὡς καὶ τοὺς Σειληνοὺς, καὶ Πᾶνας, καὶ ὅτι ἀπὸ τῆς σάθης πεποίηται τὸ ὄνομα. δ'. 62.
σαῦρος, καὶ σαῦρα, ὅτι καὶ θηλυκῶς λέγεται καὶ ἀρσενικῶς. ζ'. 22.
σεβαστικοὶ, οἱ περὶ τὴν θεωρίαν καταγινόμενοι. ιδ'. 5.
σεσαρὼς, διεστηκὼς τὰ χείλη, καὶ μειδιῶν. ζ'. 79.
σία, καὶ ὅτι βοτάνη τίς ἐστιν, ἢ ἀνθύλλια ὅμοια σελίνῳ ἐν τοῖς ποταμοῖς τρεφόμενα· καὶ ὅτι κατά τινας τὰ πρὸς τοῖς ποταμοῖς φυόμενα βροῦλα. ε'. 125.
σικελίδας, Ἀσκληπιάδης ὁ Σάμιος, ὡς υἱὸς Σικελίδα. ζ'. 40.
σιμαὶ μέλισσαι, καὶ ὅτι σιμὰς καλεῖν ἔθος τὰς μελίσσας· τὸ γὰρ πρὸς ὑποδοχὴν τῆς ἐργασίας αὐτῶν ἄγγος, σίμβλον καλοῦμεν. ζ'. 80.
σίμβλον, τὸ ἄγγος τὸ πρὸς ὑποδοχὴν τῆς τῶν μελισσῶν ἐργασίας. ζ'. 80.
σιμιχίδας, καὶ ὅτι φασὶν οὕτω τὸν Θεόκριτον λέγεσθαί τινες καθὸ Σιμιχίδου ἦν υἱὸς, ἢ καθὸ σιμὸς ἦν· οἱ δὲ ἕτερόν τινα τῶν σὺν αὐτῷ· καὶ ὅτι φασὶ τὸν τοιοῦτον ἀπὸ πατρίου κληθῆναι Σιμιχίδου τοῦ Περικλέους τῶν Ὀρχομενίων, οἵτινες πολιτείας παρὰ Κώοις τετυχήκασι· καὶ ὅτι τῶν πατρωνυμικῶν ἐστι τῶν ἀπαραλλάκτως ἐπὶ τῶν υἱῶν ὡς ἐπὶ τῶν πατέρων λεγομένων. ζ'. 21.
σιμὸς, ὁ συγκαθημένην ἔχων τὴν ῥίνα, καὶ ἀνεστηκότας τοὺς ῥώθωνας. ια'. 33.
σίμων, καὶ ὅτι οὕτως ὁ τοῦ Ἀράτου ἐκαλεῖτο ἀντεραστής. ζ'. 125.
σίττα, ἐπίφθεγμα βουκολικὸν, ὅπερ λέγουσιν οἱ βουκόλοι. δ'. 46.

σίττα,

σίτ]α, ϗ ὅτι παρακέλευσις τῦτό ἐςι. ἑ. 3.
σκαίρειν, κυρίως τὸ σκιρτᾷν· ἀφ' ῦ ϗ σκάρος· ϗ ὅτι νῦν ἀντὶ τῦ νέμεσθαι, ἐν τῷ, σκαίρει τὸ βαθύσκιον ἀμφὶ Λάτυμνον. δ'. 19.
σκαλεύω, σκαλίσι καθαίρω. ί. 24.
σκαλὶς, καὶ ὅτι ἐργαςήριόν ἐςι γεωργικὸν ἡ σκαλὶς, τὸ κοινῶς λεγόμϑμον σκαλιςήριον. ί. 14.
σκαφίδες, ἀγγεῖα εἰς ἃ κατετίθεσαν τὰς μελικηρίδας. ἑ. 59.
σκιάδες χλωραὶ, ἀντὶ τῦ χλωραὶ σκηναὶ ϗ καλύβαι. ιέ. 119.
σκιάδιον, τὸν πέτασον· ϗ ὅτι τὸ σκιάδιον σκίῤῥον καλῦσιν οἱ Ατ]ικοί. ιέ. 39.
σκίλλα, εἶδος βοτάνης πάντη ἀχρήσου. ἑ. 121.
σκιλλοκρόμμυα. ἑ. 121.
σκιπναῖον, Ἑσπερινόν· καὶ ὅτι λέγε) ἢ παρὰ τὴν σκίπαν, ἢ παρὰ τὸ κνέφας, ἢ παρὰ τὸν κνίπα. ις'. 93.
σκοπάδαι, ϗ ὅτι Κρανώνιοι τὸ γένος· Κράνων δὲ Θεσσαλίας πόλις, ὅθεν Σκόπας ὁ Κρέοντος ϗ Ἐχεκρατίας. ις'. 36.
σκοπιὰ ὑψηλὸς τόπος· ἐφ' ῦ ἐςι τινὰ ἱςάμϑμον, τὰ κύκλῳ περισκέπ]εσθαι. θ' 11.
σκύζειν, ϗ ὅτι κυρίως ἐπὶ λέοντος, ὅταν τὸ ἐπισκύνιον χαλάζῃ ὀργιζόμϑμος· ἐπισκύνιον γὸ ἡ τῶν ὀφρύων κάθεσις. ις'. 8.
σκυθικὸς πόντος, ὁ λεγόμϑμος Εὔξεινος. ις'. 99.
σκύλακες, τὰ μικρὰ τῶν κυνῶν ὑποκοριςικῶς. ἔςι ϗ ὅτε ἀντὶ τῶν κυνῶν. β'. 12.
σκύφος, τὸ ποτήριον. α'. 143.
σκῶπες, οἱ νυκ]ικόρακες· ϗ ὅτι ὕτω καλοῦν) ἀπὸ τῦ φθέγγεσθαι ὡς ἐπισκώπ]οντες τῇ φωνῇ. α'. 136.
σμῆγμα, τὸ σαπώνιον. γ'. 17.
σμήνη, τὰ τῶν μελισσῶν ἀγγεῖα. α'. 107.
σμήχω, τὸ καθαίρω. γ'. 17.

σαγὼν, ἀπὸ τῦ σάζειν. ζ'. 139.
σασῶ, ἀντὶ τῦ σήσω, Δωρικῶς. ε'. 53.
σεῖραι, αἱ εἰς ἅπαν ἄτοκοι. θ'. 3.
σέφανοι· καὶ ὅτι τοῖς σεφάνοις ἐχρῶντο ἐν τοῖς συμποσίοις, εὐετηρίαν ϗ ἀφθονίαν αἰνιτ7όμϑμοι· τὸ γδ σέψαι, πληρῶσαι. γ'. 21.
σιβάδες, ἡ ἐξ ὕλης χορτώδης κατάσρωσις. ιγ'. 34.
σιβὰς, σρωμνὴ ἐπὶ γῆς ἐκ φύλλων. ζ'. 67.
σοίχημα, ὃ λαμβάνἱ ὁ νικήσας. η'. 11.
σομάλιμνον, τὴν εἰς θάλασσαν ἐσομωμένην λίμνην. δ'. 23.
σορεσεῦντι, κατασορέουσι, γαληναῖα ποιῆσυσι. ζ'. 57.
σρόμβος, κογχύλιον, ἀπὸ τῦ συνεσράφθαι. θ'. 25.
Σύβαρις, πόλις Ἰταλίας, ἢ ἀπὸ οἰκισῦ τινὸς, ἢ ἀπὸ Συβάρεως ποταμῦ. ϗ ὅτι τὸ νῦν Θύριον καλεῖ). ε'. 1.
συβάρτα, Δωρικῶς κατὰ τὴν γϑικὴν, ἀντὶ τῦ Συβάρτου. ε'. 5.
συκίνη ἐπικυρία, ἡ μηδὲν ὠφελῦσα. ι'. 45.
Σύκινοι ἄνδρες, ἤγουν ἀσθενεῖς ϗ ἀχρεῖοι· ὅτι τὸ ξύλον τῆς συκῆς εὔθραυσον. ι'. 45.
Σὺν κακαῖς μανίαις, ἤγουν κακῶς μαινομένην. β'. 136.
Σύνοφρυς, ἐς ταυτὸ συναπ7ῦσας ἔχυσα τὰς ὀφρῦς, ἢ δασείας, ϗ συγκεκολλημένας. τῦτο δὲ εὐόφθαλμος, ἢ συνετή. η'. 72.
συρακόσιοι, καὶ ὅτι Κορινθίων ἄποικοι. ιε'. 91.
συρίζειν, τὸ διὰ σύριγγος μέλπειν· ϗ ὅτι διαφέρἱ τὸ ᾄδειν τῦ συρίζἱν καὶ τῦ αὐλεῖν ϗ τῶν τοιύτων, τῷ, τὰ μὲν, μέλος ἔχἱν μόνον· τὸ δὲ ᾄδειν, ϗ ἐπὶ λόγου λέγεσθαι ἐμμελῦς. α'. 3. ϗ β'. 28.
συρικτὴς, ὁ κοινῶς λεγόμϑμος τραγῳδιτής. ζ'. 28.
συρίτ7ω, ἐπὶ τῶν ἐμπαιζόντων· καὶ ὅτι ἀμεταβάτως ϗ μεταβατικῶς. α'. 3.
χαδόνες, τὰ ἐκ τῶν κηφήνων κηρία, ἢ οἱ κηροὶ οἱ ἔχοντες τῶν κηφήνων τὺς γόνυς. α'. 147.

χοῖνος,

χοῖνος, τὸ παρὰ τοῖς κοινοῖς βρύλλον. α΄. 53.

## Τ.

Τάλαντον ὁ ζυγὸς· ϰ̀ τάλαντα τὰ τῷ ζυγῷ ςαθμιζόμϩα· ὁ πλοῦτος. ή. 53.
Τάμιζος, ἡ πιτύα, παρὰ τὸ θαμίζειν, ὅ ἐςι πυκνοῦν τὸ γάλα περὶ αὐτὸ ςρεφόμϩον. ζ΄. 16.
Ταρσοὶ, τὰ κοινῶς λεγόμϩα τυροβόλια, καὶ ὅτι ἀπὸ τοῦ τείρω γίνεται. ια΄. 37.
τεῖνδε, ἐνταῦθα, Δωρικῶς. ε΄. 32.
τέμπη, τὰ ἄλση γϩικῶς· ἐνίοτε δὲ τὸ μεταξὺ Ὄσσης καὶ τοῦ Ὀλύμπου χωρίον. α΄. 67.
τετράενες, ἤγουν τετραετὲς, Ἀττικῶς. ζ΄. 147.
τεύταρος, ὁ Σκύθης ὑφ᾽ οὗ διδαχθεὶς τοῖς Σκυθικοῖς ἐχρῆτο τόξοις ὁ Ἡρακλῆς. ιγ΄. 56.
τήλεμος, ὁ παρ᾽ Ὁμήρῳ Εὐρυμέδης ἢ Εὐρύμαχος καλούμενος. ϛ΄. 23.
τηλέφιλον, τὸ φύλλον τῆς μήκωνος, οἱονεὶ δηλέφιλον· ϰ̀ ὅτι πληττόμϩον εἰ ψόφον ἀπετέλει, ἐδίδου αὐτοῖς σημειοῦσθαι ὅτι ἀντερῶνται ὑπὸ τῶν ἐρωμϩων· εἰ δ᾽ οὐκ ἀπετέλει, ὅτι μισοῦνται. γ΄. 29.
τῆνα, ἐκείνη Δωρικῶς· οἱ γδ Δωριεῖς ποτὲ μὲν γράφουσι τὸ τ ἀντὶ τοῦ κ, ποτὲ δὲ τὸ κ ἀντὶ τοῦ τ. ἦν γδ ἐκείνη, καὶ κατ᾽ ἀφαίρεσιν τοῦ ε, κείνη. ἐκβολῇ τοῦ ι, καὶ τροπῇ τοῦ ε εἰς η, ϰ̀ τοῦ κ εἰς τ, καὶ τοῦ η εἰς α, τῆνα. α΄. 1.
τηνεὶ, ἐπιῤῥηματικῶς, ἀντὶ τοῦ ἐνταῦθα. ε΄. 33.
τηνῶθε, ἐξ ἐκείνου τοῦ τόπου, Δωρικῶς. γ΄. 10.
τίκτω, ϰ̀ ὅτι τὰ ἀπὸ τοῦ τίκτειν συγκείμϩα, εἰ μὲν προπαροξύνεται, πάθος δηλοῖ· εἰ δὲ παροξύνεται, ἐνέργειαν. ε΄. 84.
τίς τρίχας ἀντ᾽ ἐρίων ἐποκίξατο; ἤγουν τίς ποτε ἔκειρεν ἀντ᾽ ἐρίων τρίχας; ε΄. 26.

τίτυρος, ὄνομα αἰπόλου· καὶ ὅτι τοὺς ἀργοὺς τιτύρους λέγουσι· ἢ τίτυροι οἱ τράγοι, ἢ οἱ σιληνοὶ, ἢ οἱ σάτυροι, ἢ ὄνομα πόλεως Κρήτης, ἢ καθ' ἄλλους οἱ τῶν θεῶν πρόσπολοι· καὶ ὅτι κάλαμον λέγουσιν εἶναι τινές. γ'. 2. καὶ ζ'. 72.
τοκάδων, τῶν μητέρων. η'. 63.
τοσσῆνον, τοσοῦτον. α'. 54.
τραγῳδεῖν, τὸ ᾄδειν. η'. 4. καὶ η'. 55. καὶ 61. καὶ α'. 19. καὶ γ'. 38.
τραγῳδητὴς, ὁ ᾄδων, κοινῶς. δ'. 30. καὶ ζ'. 28.
τραγῳδὸς, ἀντὶ τοῦ ποιητής. ζ'. 82.
τριακοντάζυγος, ἡ πολυκάθεδρος, ἢ τριάκοντα καθέδρας ἔχουσα. ιδ'. 74.
τρίοπον, ἀκρωτήριον τῆς Κνίδου, ἀπὸ Τριόπου τοῦ Ἄβαντος. ιζ'. 69.
τρίοψ, ὁ βασιλεὺς τῆς Κῶ, ἀφ' οὗ τὸ ἀκρωτήριον ὠνόμασαι τῆς Κνίδου. ιζ'. 68.
τροφαλὶς, τυρὸς πεπηγὼς παρ' Ἀττικοῖς. ια'. 20.
τρυπᾷν, ὀχεύειν. ε'. 42.
τρύχνος, εἶδος λαχάνου· νῦν δὲ ἐπὶ τρυφερότητος, ἐν τῷ. Ἀφωνὰ δὲ τρύχνος. ι'. 37.
τυρίσδες, ἀντὶ τοῦ συρίσδεις, Δωρικῶς. α'. 3.
τυρόεις, παράγωγον. α'. 57.
τυτθὸν, καὶ ὅτι κυρίως τὸ ἐπιτίτθιον βρέφος· παρὰ τὸν τιτθὸν, ὃ σημαίνει τὸν μαζόν. α'. 45.

## Υ.

Ὑάκινθος γραπτὰ, ἡ ἔχουσα ἐν ἑαυτῇ γεγραμμένα γράμματα θρηνώδη, δηλονότι τὸ αἲ αἴ. σύμβολον τῶν ἐπ' Αἴαντι μυθολογουμένων. ι'. 28.
Ὑβὸς, ὁ συγκεκαμμένος τὸν τράχηλον· ἀπὸ τοῦ κυφὸς, ἀποβολῇ τοῦ κ, καὶ τροπῇ τοῦ φ εἰς β. ε'. 43.
Ὑετὶς, ὄρος καὶ κρήνη. ζ'. 115.

υλας, ϗ ὅτι ὁ Ὕλας ᾒὸς κατὰ Σωκράτην Ἡρακλέυς· κατὰ τὸν Ῥόδιον δὲ Ἀπολλώνιον Φιλοδάμου ϗ Κήϋκος, καῖ Εὐφορίωνα δὲ Εὐφήμου τῦ Ποσϊδῶνος, ϗ ἄλλου καῖ ἄλλυς. ιγ΄. 7.
ὕσπλαγξ, εἶδος παγίδος· κυρίως δὲ ἡ τῶν δρομέων ἀφετηρία, ὃ κάγκελον ἡμεῖς φαμέν. ή. 58.
ὗς ποῖ Ἀθηναίαν ἔριν ἤριςε, παροιμία ἐπὶ τῶν τοῖς κρείττοσιν ἀντεριζόντων. ιε΄. 23.
ὑφίητι, ὑποβάλλϥ. δ΄. 4.

Φ.

Φάκον ἔψειν, παρ᾽ ὑπόνοιαν, ἀντὶ τῦ κρέας. ί. 54.
Φάλαρος, ὁ λδκός. ή. 27.
Φάλαρος, ϗ ὅτι ὅρος κατά τινας πρὸς ἀνατολὰς κείμενον· καῖ ἄλλυς δὲ φάλαρος ὁ λδκὸς κριός· φαλὸν γδ τὸ λδκόν. έ. 103.
φαληριόωντα, τὰ λευκαινόμενα. έ. 103.
φάσσα, ὄνομα ὀρνέου· ϗ ὅτι ὑποκυάνεον ἔχϥ τὴν κεφαλὴν, ϗ μᾶλλόν γε ἐμπόρφυρον, τῶντε ὀφθαλμῶν λδκῶν ὄντων τὸ ἐν αὐτοῖς μέλαν ςρογγύλον ἐςί. έ. 96.
φηγοὶ, οἱ βάλανοι· ϗ ὅτι εἴρηϯ, παρόσον πρὸ τῶν Δημητριακῶν καρπῶν, τὺς βαλάνυς ἤσθιον. θ΄. 20.
φθονεῖν, ϗ σήμαινε ὅτι σύνηθες τῦτο τοῖς ποιηταῖς, τῷ φθονεῖν ἀντὶ τῦ μέμφεσθαι χρῆσθαι, ϗ φθόνῳ ἀντὶ τῦ μέμψεως. ζ΄. 101.
φθύζειν πτύειν. ζ΄. 127.
φιαρωτέρα ὄμφακος, σκληροτέρα ἀώρου ςαφυλῆς. ιά. 21.
φιλάιτατος, φίλτατος. ζ΄. 98.
φιλεχθὴς, ἐς ἔχθος ϗ μῖσος τὺς φίλυς ἄγων, ἢ φιλόνεικος. έ. 137.
φιλητᾶς ὁ ποιητὴς, ϗ ὅτι Κῶος ἦν τὸ γένος, ἢ, ὡς ἔνιοι, Ῥόδιος, ᾒὸς Τηλέφου. ζ. 40.

φιλοί-

φιλοίφα, φιλοσυνυσιαςά· ὀφεῖν γὰρ τὸ συνυσιάζειν. δ'. 62.

φιλοκέρτομος, λοιδοριῶν φίλος. ε'. 77.

φιλοποίμνιος κύων, ὁ ἐν τῇ ποίμνῃ φιλῶν ἀναςρέφεσθαι. ε'. 106.

φίλος, ϗ ὅτι ἐνίοτε μὲν λέγεται ἐπὶ τῦ φιλοῦντος· ἐνίοτε δὲ καὶ ἐπὶ τῦ φιλυμένου. ς'. 23.

φλάζαιμι, θλάζαιμι. ε'. 150.

φοίνικες, ϗ ὅτι ὕτως φησὶ τὺς Καρχηδονίαν οἰκοῦντας Φοίνικας· οἱ γὰρ Φοίνικες ἄποικοι Τυρίων. ις'. 76.

φοιτᾷ, ὁρμᾷ· καὶ ὅτι παρὰ τὸ ὁδὸς γίνεται ὁδῶ, τροπὴ τῦ δ εἰς τ ὁ τῶ, πλεονασμῷ τῦ φ, ϗ ι, φοιτῶ. α'. 49.

φόλος, ὄνομα Κενταύρου ᾧ ἐπιξενωθεὶς Ἡρακλῆς, οἶνον ἔπιε καλὸν ἐκ Διονύσου δοθέντα. ζ'. 149.

φριμαγμὸς, καὶ ὅτι κυρίως ἐςὶ τῶν ἵππων. βληχὴ δὲ τῶν αἰγῶν ϗ προβάτων. ε'. 141.

φριμάσσεο μεθ' ἡδονῆς σκίρτα, ἢ βρενθύυ, ϗ ἐναβρύνου. ε'. 141.

φυκίον, εἶδος βοτάνης ἐν τῷ βυθῷ γινομένης, ἢ τὰ ἐν τοῖς αἰγιαλοῖς βρύα κοκκινοειδῆ· φύκος δὲ τὸ χορτῶδες τὸ τῆς θαλάσσης ἀπόβλημα. ζ'. 58.

φύσκος, ὄνομα ὄρυς. δ'. 23.

φωλάδες ἄρκτοι, ἢ ὅτι φωλεοῖς οἱ ἄρκτοι χρῶνται, ϗ πολὺν κατὰ τὸν Θεόφραςον χρόνον φωλεύυσι, ἢ ὅτι μόναι τῶν ἄλλων θηρίων οἱ ἄρκτοι τίκτουσι, ϗ φωλεοῖς ἐπικάθηνται· ἢ αἱ κατάςικτοι. α'. 115.

## Χ.

Χαίρειν, ϗ ὅτι τὸ χαίρειν, ἐνίοτε μὲν ἐπὶ ἀποδημίας λέγεται· ἐνίοτε δὲ προσαγόρευσιν ἁπλῶς σημαίνει. α'. 116.

Χαλεπὸν χορίων κύνα γεῦσαι, παροιμία ἐπὶ τῶν γευσαμένων ἐφετῦ τινὸς, δυσαποσπάςως δὲ ἐχόντων τῆς συνηθείας. ι'. 11.

Χαλεπὸν μαθοῦσα κύων σκυτοτραγεῖν, παροιμία ἑτέρως μὲν ἐκφερομένη, ταυτὸν δὲ δηλοῦσα. ι΄. 11.
χάλκων, ὁ τῶν Κώων βασιλεύς. ζ΄. 6.
χανδάνειν, χωρεῖν, καὶ ὅτι ἀπὸ τοῦ χῶ, τὸ χωρῶ, χάδω· καὶ ἀπὸ τοῦ χάδω χανδάνω, ὥσπερ ἀπὸ τοῦ ἥδω, τὸ εὐφραίνομαι, ἀνδάνω. ιγ΄. 57.
χαὸν, τὸ ἀγαθὸν παρὰ Λακεδαιμονίοις. ἢ τὸ ἀρχαῖον καὶ τὸ εὐγενές. ζ΄. 5.
χελιδόνιον, φυτάριον πλατύφυλλον, μέλαν, ὡσεὶ χελιδὼν, ὁ ἅμα τῷ φανῆναι τῇ χελιδόνι, ἀνθεῖ. ιγ΄. 41.
χίμαρος, καὶ ὅτι ἀρσενικῶς μὲν ὁ τράγος· θηλυκῶς δὲ ἡ ἐνιαυσία αἴξ. α΄. 6.
χῖον ἀοιδὸν, τὸν Ὅμηρον. ζ΄. 47.
χλωρὸν γόνυ, ἀντὶ τῆς ἀκμῆς. ιδ΄. 70.
χόρια, τὰ κυτάρια, ἐν οἷς εἰσὶ τὰ ἔμβρυα· ἢ τὰ τῶν ἐμβρύων ἀγγεῖα· ἢ οἱ ὑμένες, οὓς πληροῦσι τοῦ ἀμελχθέντος γάλακτος. καὶ ὅτι χόρια, καὶ αἱ ἀπὸ τῶν ἐντέρων πλεκόμεναι χορδαί. θ΄. 19.
χορὸν ἀρτίζειν, χορείαν στήσασθαι. ιγ΄. 44.
χροΐζεται, συγχρωτισθήσεται, καὶ συγκοιμηθήσεται. ι΄. 18.
χρόνος καὶ καιρὸς, ὅτι διαφέρει. ἐν τῷ καιρός.

## Ψ.

Ψὲ, καὶ ὅτι τῷ ψὲ οἱ Δωριεῖς ἀντὶ τοῦ σφὲ χρῶνται. δ΄. 3.
Ψεύσματα, τὰ ἐπάνω τῆς ῥινὸς φυόμενα ψυδράκια· καὶ ὅτι σημεῖον ταῦτα ψευδολογίας. ιβ΄. 24.
Ψιὰς, ἀπὸ τοῦ ψίω, τὸ λεπτύνω. α΄. 1.
ψίθος, ἡ λοιδορία. α΄. 1.
ψιθύρισμα, τὸ μέλισμα, ἢ τὸ σύριγμα, ἢ τὸ κροῦμα, ἢ τὸ μινύρισμα, ἢ τὸ λάλημα· καὶ ὅτι τῶν κατὰ μίμησιν ἡ φωνή. α΄. 1.
ψιθυρίζειν, καὶ ὅτι ψιθυρίζειν λέγονται αἱ πίτυς, ὅταν ῥιπισθῶσι,

τῇ ςενότητι τῶν φύλλων σχιζομένης τῆς πνοῆς. α΄. 1.
ψιθυρίζειν, καὶ ὅτι ἐπὶ τῶν ψαδομένων λέγεται. α΄. 1.
ψίθυρος, καὶ ὅτι λέγεται ψίθυρ ψίθυρος, ὡς μάρτυρ μάρτυρος, καὶ ψίθυρος ψιθύρου, ὡς μάρτυρος μαρτύρου. α΄. 1.
ψίω, λεπτύνω. α΄. 1.
ψίττα, ἐπίφθεγμα βουκολικόν. δ΄. 45. καὶ ε΄. 3.
ψυδράκια, φύσκαι λευκαὶ ἐπάνω τῆς ῥινὸς φυόμεναι. ιβ΄. 24.
ἐκ ψυχῆς, ἐξ ὅλης τῆς προθυμίας, ἢ ἑκὼν καὶ ἀφ᾽ ἑαυτοῦ κινούμενος, ἐν τῷ, Βόσκοιτ᾽ ἐκ ψυχᾶς. η΄. 35.

## Ω.

Ὠδήκαντι ἶνες, Δωρικῶς ἀντὶ τοῦ, ᾠδήκασιν· ἤγουν γεγαυρισμένος, ἢ πεφυσιωμένος, ἢ ἐξογκωμένος ὤν. α΄. 43.
Ὦ, 'λεύθερε, κατ᾽ εἰρωνείαν. ε΄. 8.
Ὤνια, τὰ πωλούμενα. α΄. 58.
ὦνος, ὃ δίδωσί τις ἵνα λάβῃ τὶ τῶν πωλουμένων. α΄. 58.
ὦ παιὰν, ἐπὶ ἀγανακτήσεως ἡ ἐπίκλησις. ε΄. 79.
ὡραΐζεσθαι θρύπτεσθαι· καὶ ὅτι οὕτως παρὰ Μενάνδρῳ. α΄. 109.
ὡραῖος, τρυφερὸς, ἢ εὐειδὴς, ἢ ἀκμάζων. α΄. 109.
ὥρια, ἔγκαιρα, ἐπιτήδεια· ὥρια δὲ, τὰ διὰ φροντίδος, ἢ φυλακτικὰ, ἀπὸ τοῦ ὠρῶ, τὸ φυλάσσω. ζ΄. 62.
ὥριον ἔτος, ζήτει ἐν τῷ, ἔτος ὥριον.
ὠρίωνος δύσις, καὶ ταύτης πέρι. ζ΄. 53.
ὠρόμεδων, ὄρους ἐν Κῷ ὄνομα· ἢ ὁ Πὰν, ὡς τῶν ὀρέων μέδων· κατά τινας δὲ ὁ ἥλιος, ὡς βασιλέων τῶν τεσσάρων ὡρῶν τοῦ ἐνιαυτοῦ. ζ΄. 46.
ὡς, εὐθέως. γ΄. 42.
ὥτερος, ὅτι Δωρικὴ ἡ συναλοιφή· τὸ γὰρ ὁ ἕτερος, οὕτερος διὰ τοῦ υ· ὡς καὶ παρ᾽ Ἡροδότῳ· καὶ ὅτι ἡμαρτημένως ἐξενηνόχε τὸ, ὥτερος· ἕτερος γὰρ ἄλλος ἐκ πλειόνων, ἐν τῷ, Χ᾽ ὥτερος ἄλλον ὀνασεῖ. ζ΄. 36.
ᾤχετο φεύγων, τρέχων ἀπῆλθε. β΄. 152.

ΤΕΛΟΣ.